τὰ διδόμενα;» δεῖν δ' ἔφη τόνῳ διαλεγόμενον ὥσπερ τοὺς ὑποκριτὰς τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν, τὸ μέντοι στόμα μὴ διέλκειν· ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ. τοῖς εὖ λεγομένοις οὐκ ἔφη δεῖν καταλείπεσθαι τόπον ὥσπερ τοῖς ἀγαθοῖς τεχνίταις εἰς τὸ θεάσασθαι, τοὐναντίον δὲ τὸν ἀκούοντα οὕτω πρὸς τοῖς λεγομένοις γί-
νεσθαι ὥστε μὴ λαμβάνειν χρόνον εἰς τὴν ἐπισημείωσιν. (23) *ἔλεγε δὲ μηδὲν εἶναι τῆς οἰήσεως ἀλλοτριώτερον πρὸς κατάληψιν τῶν ἐπιστημῶν, μηδενὸς θ' ἡμᾶς οὕτως εἶναι ἐνδεεῖς ὡς χρόνου.*

4 πόσου γὰρ ἠγάπας vulg.: fort. πῶς γὰρ οὐκ ἠγάπας von Arnim.

28 Diogenes Laertius 7.5:
Ἀνακάμπτων δὴ ἐν τῇ Ποικίλῃ Στοᾷ τῇ καὶ Πεισανακτείῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου Ποικίλη, διετίθετο τοὺς λόγους, βουλόμενος καὶ τὸ χωρίον ἀπερίστατον ποιῆσαι. ἐπὶ γὰρ τῶν τριάκοντα, τῶν πολιτῶν πρὸς τοὺς χιλίους τετρακοσίους ἀνῄρηντ'
ἐν αὐτῷ. Προσήεσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ καὶ διὰ τοῦτο Στωικοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι, καθά φησι καὶ Ἐπίκουρος ἐν ἐπιστολαῖς.

1. δὴ PB, δὲ D 2. διετίθετο PDF

28α Diogenes Laertius 7.10-12:
Ἔδοξε δέ μοι καὶ τὸ ψήφισμα τὸ περὶ αὐτοῦ τῶν Ἀθηναίων ὑπογράψαι.

ἦταν ἀνάμεσα στοὺς ζωντανούς, καὶ θορυβώντας τοῦ φόρτωνε τὰ ἐξ ἁμάξης, δηλώνοντας, πὼς ὁ Πλάτων δὲν θὰ μποροῦσε νὰ ἀμυνθεῖ καὶ κανεὶς ἄλλος δὲν θὰ φρόντιζε γιὰ τὴν ὑπεράσπισή του. Ἂν ὅμως θὰ φρόντιζε γιὰ τὸν Ἀρκεσίλαο, πίστευε, ὅτι εἶναι σίγουρα κερδισμένος, μὲ τὸ νὰ τὸν ἔχει ἀποτρέψει ἀπὸ κοντά του.

26 Cicero, De fin. bon. et mal. 3.5:
Ἀπ' ὅλους τοὺς φιλοσόφους οἱ Στωικοὶ ἔχουν βέβαια εἰσαγάγει τοὺς περισσότερους νεωτερισμούς, καὶ ὁ Ζήνων, ὁ ἀρχηγέτης των, δὲν ὑπῆρξε ἐπινοητὴς τόσο πολὺ νέων πραγμάτων, ὅσο νέων λόγων.
3.15: Γιατί, ἂν ὁ Ζήνων ἀνακάλυπτε ἀσυνήθιστα πράγματα, τοὺς ἔδινε νέα ὀνόματα, ποὺ ἕως τότε ἦταν ἄγνωστα. Κι' ἂν αὐτὸ τοῦ ἐπετρέπετο, γιατί νὰ μὴν ἐπιτρέπεται καὶ στὸν Κάτωνα;

27 Διογένης Λαέρτιος 7.20, 23:
Ὅταν κάποιος τοῦ εἶπε, ὅτι τοῦ φαίνονται μικρὰ τὰ λογάκια τῶν φιλοσόφων, «τὴν ἀλήθεια λές», εἶπε: «Πρέπει μάλιστα κι' οἱ συλλαβές των νὰ εἶναι βραχεῖες κατὰ τὸ δυνατόν». Λέγοντας δὲ κάποιος σ' αὐτὸν γιὰ τὸν Πολέμωνα, ὅτι ἄλλα λέγει ἀπὸ τὸ θέμα ποὺ ἀνακοίνωσε, σκυθρωπιάζοντας ἀπάντησε: «πόση ἀξία θὰ ἔδινες σ' αὐτὰ ποὺ ἐκθέτει;» Ὅταν θέλει κανεὶς νὰ κάνει μὲ ἔμφαση ἕνα διάλογο, πρέπει, εἶπε, νὰ ἔχει δυνατὴ φωνὴ καὶ μεγάλη δύναμη ὅπως οἱ ἠθοποιοί, νὰ μὴν ἀνοίγει ὅμως ὑπερβολικὰ τὸ στόμα, ὅπως κάνουν ἐκεῖνοι ποὺ λένε μὲν πολλά, ἀδύνατα ὅμως πράγματα. Στὰ σωστὰ λόγια δὲν πρέπει νὰ μένει τόπος σὲ ἀντίθεση πρὸς τοὺς καλοὺς τεχνίτες γιὰ θέαση, ἀλλὰ ἀντίθετα, ἐκεῖνος ποὺ ἀκούει πρέπει νὰ διατίθεται πρὸς τὰ λεγόμενα μὲ τέτοιο τρόπο, ὥστε νὰ μὴν τοῦ μένει χρόνος γιὰ παρατηρήσεις. (23) Συνήθιζε ἐπὶ πλέον νὰ λέει ὅτι δὲν ὑπάρχει τίποτε πιὸ ἀλλότριο στὴν κατανόηση τῶν ἐπιστημῶν ἀπὸ τὴν οἴηση, κι' ὅτι δὲν μᾶς λείπει τίποτε περισσότερο ἀπὸ τὸν χρόνο.

28 Διογένης Λαέρτιος 7.5:
Περπατώντας λοιπὸν στὴν Ποικίλη Στοὰ ποὺ λεγόταν καὶ Πεισανάκτιος, κι' ἀπὸ τὶς ζωγραφιὲς τοῦ Πολυγνώτου Ποικίλη, ἀνέπτυσσε τὶς θεωρίες του, θέλοντας νὰ καταστήσει στὸ μέρος αὐτὸ ἀπαλλαγμένο ἀπὸ τὰ μαζεμένα πλήθη. Γιατὶ ἐπὶ τῶν τριάκοντα τυράννων ἐκτελέστηκαν σ' αὐτὸ χίλιοι τριακόσιοι πολίτες. Προσέρχονταν λοιπὸν ἐκεῖ γιὰ νὰ τὸν ἀκούσουν καὶ γι' αὐτὸ ὀνομάστηκαν παρόμοια κι' αὐτοὶ Στωικοί, ἐνῶ πρὶν τοὺς ὀνόμαζαν Ζηνώνειους, ὅπως λέει καὶ ὁ Ἐπίκουρος στὶς ἐπιστολές του.

28α Διογένης Λαέρτιος 7.10-12:
Θεώρησα σωστὸ νὰ παραθέσω καὶ τὸ ψήφισμα τῶν Ἀθηναίων γι' αὐτόν.

καὶ ἔχει ὧδε· Ἐπ' Ἀρρενίδου ἄρχοντος, ἐπὶ τῆς Ἀκαμαντίδος πέμπτης πρυτανείας Μαιμακτηριῶνος δεκάτῃ ὑστέρᾳ, τρίτῃ καὶ εἰκοστῇ τῆς πρυτανείας, ἐκκλησίᾳ κυρίᾳ, τῶν προέδρων ἐπεψήφισεν Ἵππων Κρατιστοτέλους Ξυπεταιὼν καὶ οἱ συμπρόεδροι, Θράσων Θράσωνος Ἀνακαιεὺς εἶπεν· Ἐπειδὴ Ζήνων Μνασέου Κιτιεὺς ἔτη πολλὰ κατὰ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος ἔν τε τοῖς λοιποῖς ἀνὴρ ἀγαθὸς ὢν διετέλεσε καὶ τοὺς εἰς σύστασιν αὐτῷ τὸν νέων πορευομένους παρακαλῶν ἐπ' ἀρετὴν καὶ σωφροσύνην παρώρμα πρὸς τὰ βέλτιστα, παράδειγμα τὸν ἴδιον βίον ἐκθεὶς ἅπασιν ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετο, (11) *τύχῃ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ ἐπαινέσαι μὲν Ζήνωνα Μνασέου Κιτιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον ἀρετῆς ἕνεκεν καὶ σωφροσύνης, οἰκοδομῆσαι δὲ αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ· τῆς δὲ ποιήσεως τοῦ στεφάνου καὶ τῆς οἰκοδομῆς τοῦ τάφου χειροτονῆσαι τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἄνδρας ἐξ Ἀθηναίων. ἐγγράψαι δὲ (τόδε) τὸ ψήφισμα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις (λιθίναις) δύο καὶ ἐξεῖναι αὐτῶν θεῖναι τὴν μὲν ἐν Ἀκαδημείᾳ τὴν δὲ ἐν Λυκείῳ. τὸ δὲ ἀνάλωμα τὸ εἰς τὰς στήλας γινόμενον μερίσαι τὸν ἐπὶ τῇ διοικήσει, ὅπως (ἂν) ἅπαντες εἴδωσιν ὅτι ὁ δῆμος ὁ Ἀθηναίων τοὺς ἀγαθοὺς καὶ ζῶντας τιμᾷ καὶ τελευτήσαντας.* (12) *ἐπὶ δὲ τὴν ⟨ποίησιν τοῦ στεφάνου καὶ τὴν⟩ οἰκοδομὴν κεχειροτόνηνται Θράσων Ἀνακαιεύς, Φιλοκλῆς Πειραιεύς, Φαῖδρος Ἀναφλύστιος, Μέδων Ἀχαρνεύς, Μίκυθος Συπαληττεύς, Δίων Παιανιεύς.»*

4-5. κράτης τὸ τελέως B, κρατιστοτελέως P, ἵππω κρατης ὁ τελέως D. 5. Ἀνακλιεὺς BD 9. παραδείγματα D 10. τῇ om. LD Pal. 261 12. ἕνεκεν BPFD 19 ἰδῶσιν B

28β Diogenes Laertius 7.15:

Λέγεται δὲ καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς· ὅθεν καὶ διὰ Θράσωνος πρεσβευτοῦ παρὰ τῶν Ἀθηναίων ᾔτησεν αὐτῷ τὴν ἐν Κεραμεικῷ ταφήν. Ἐρωτηθεὶς δὲ διά τί θαυμάζει αὐτόν, «ὅτι,» ἔφη, «πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ οὐδέποτ' ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη.»

28γ Diogenes Laertius 7.6-9:

Ἀπεδέχετο δ' αὐτὸν [Ζήνωνα] καὶ Ἀντίγονος καὶ εἴ ποτ' Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ πολλὰ καὶ παρεκάλει ἀφικέσθαι ὡς αὐτόν… ἡ δ' ἐπιστολὴ τοῦ Ἀντιγόνου τοῦτον εἶχε τὸν τρόπον, καθὰ καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν

Καὶ ἔχει ὡς ἑξῆς: «Ὅταν ἄρχων ἦταν ὁ Ἀρρενίδης, ἐπὶ τῆς πέμπτης πρυτανείας τῆς Ἀκαμαντίδας φυλῆς, τὴν εἰκοστὴ πρώτη τοῦ Μαιμακτηριῶνος (Νοεμβρίου) καὶ τὴν εἰκοστὴ τρίτη κύρια ἐκκλησία τῆς πρυτανείας, ἐκ τῶν προέδρων ὁ Ἵππων, γιὸς τοῦ Κρατιστοτέλους ἀπὸ τὸν δῆμο Ξυπέτη καὶ οἱ συμπρόεδροι ἔθεσαν τὸ ψήφισμα. Καὶ ὁ Θράσων τοῦ Θράσωνος ἀπὸ τὸν δῆμο Ἀνακαία εἶπε: Ἐπειδὴ ὁ Ζήνων ὁ γιὸς τοῦ Μνασέα ἀπὸ τὸ Κίτιο ἐπὶ πολλὰ ἔτη ζώντας στὴν πόλη μας ἐπιδόθηκε στὴ φιλοσοφία καὶ κατὰ τὰ ἄλλα διετέλεσε ἄνδρας ἀγαθὸς καὶ προτρέποντας τοὺς νέους, ποὺ πήγαιναν κοντά του γιὰ μόρφωση στὴν ἀρετὴ καὶ στὴν ἐγκράτεια, τοὺς παρωθοῦσε πρὸς τὰ ἀνώτατα ἀγαθά, προβάλλοντας τὸν βίο του ὡς παράδειγμα σὲ ὅλα, συνεπὴ στοὺς λόγους τῆς διδασκαλίας του, (11) ἦρθε ἡ καλὴ στιγμὴ ποὺ ὁ δῆμος ἔχει ἀποφασίσει νὰ ἐπαινέσει τὸν Ζήνωνα τὸν γιὸ τοῦ Μνασέα ἀπὸ τὸ Κίτιο καὶ νὰ τὸν στεφανώσει μὲ χρυσὸ στεφάνι, σύμφωνα μὲ τὸν νόμο, γιὰ τὴν ἀρετή του καὶ γιὰ τὴν ἐγκράτειά του, καὶ νὰ τοῦ κτίσει τάφο στὸν Κεραμεικὸ μὲ δημόσια δαπάνη· καὶ γιὰ τὴν κατασκευὴ τοῦ στεφάνου καὶ τὴν οἰκοδομὴ τοῦ τάφου νὰ ἐκλέξει τώρα ὁ δῆμος τοὺς πέντε ἄνδρες ἀπὸ τοὺς Ἀθηναίους, ποὺ θὰ φροντίσουν γι' αὐτό. Κι' ὁ γραμματέας τοῦ δήμου νὰ ἐγγράψει τὸ ψήφισμα αὐτὸ σὲ δύο λίθινες στῆλες καὶ νὰ ἐπιτραπεῖ ἀπ' αὐτὲς τὴ μία νὰ τὴν τοποθετήσουνε στὴν Ἀκαδημία καὶ τὴν ἄλλη στὸ Λύκειο, τὶς δὲ δαπάνες γιὰ τὶς στῆλες νὰ τὶς διαμοιράσει ὁ ταμίας γιὰ νὰ γνωρίσουνε ὅλοι ὅτι ὁ λαὸς τῶν Ἀθηναίων τιμᾶ τοὺς ἀγαθοὺς ἄνδρες κι' ὅταν ζοῦν καὶ μετὰ τὸν θάνατό τους. Καὶ γιὰ τὴν κατασκευὴ τοῦ στεφάνου καὶ τὴν οἰκοδόμηση τοῦ τάφου ἔχουν ἐκλεγεῖ ὁ Θράσων ἀπὸ τὸν δῆμο Ἀνακαία, ὁ Φιλοκλῆς ἀπὸ τὸν δῆμο Πειραιῶς, ὁ Φαῖδρος ἀπὸ τὸν δῆμο Ἀνάφλυστο, ὁ Μέδων ἀπὸ τὸν δῆμο τῶν Ἀχαρνῶν, ὁ Μίκυθος ἀπὸ τὸν δῆμο Συπαληττό, ὁ Δίων ἀπὸ τὸν δῆμο Παιανία».

28β Διογένης Λαέρτιος 7.15:

Λέγεται δέ, ὅτι μετὰ τὸν θάνατο τοῦ Ζήνωνα ὁ Ἀντίγονος εἶπε: «τί ἔχω χάσει, ὡς νὰ ἦταν ἕνα θέατρο*»· γι' αὐτὸ καὶ διὰ τοῦ πρεσβευτῆ του, τοῦ Θράσωνα, ζήτησε ἀπὸ τοὺς Ἀθηναίους τὴν ταφή του στὸν Κεραμεικό. Κι ὅταν ρωτήθηκε γιατί τὸν θαυμάζει, εἶπε ὅτι «ἐνῶ ἀπὸ μένα τοῦ προσφέρονταν πολλὰ καὶ μεγάλα, ποτὲ δὲν ἔγινε ματαιόδοξος, οὔτε φάνηκε νὰ ταπεινώνεται».

* Στὴ σκηνὴ τῆς ἱστορίας, ὅπου δρᾶ ὁ Ἀντίγονος, ὁ Ζήνων θὰ ἦταν ὁ θεατής, ποὺ θὰ τὸν ἐπιδοκίμαζε.

28γ Διογένης Λαέρτιος 7.6-9:

Καὶ ὁ Ἀντίγονος τὸν τιμοῦσε μὲ τὴν εὔνοιά του καὶ ὅποτε ἐρχόταν στὴν Ἀθήνα, ἄκουε τὰ μαθήματά του καὶ τὸν παρακαλοῦσε πολλὲς φορὲς νὰ τὸν ἐπισκεφθεῖ… ἡ δὲ ἐπιστολὴ τοῦ Ἀντιγόνου ἦταν ἔτσι διατυπωμένη,

τοῖς περὶ Ζήνωνός φησι· (7) Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν. «Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τοῦ σοῦ βίου, λόγου δὲ καὶ παιδείας καθυστερεῖν καὶ τῆς τελείας εὐδαιμονίας ἣν σὺ κέκτησαι. Διόπερ κέκρικα προσφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμέ, πεπεισμένος σε μὴ ἀντερεῖν πρὸς τὸ ἀξιούμενον. Σὺ οὖν πειράθητι ἐκ παντὸς τρόπου συμμίξαι μοι, διειληφὼς τοῦτο διότι οὐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. Ὁ γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ κατ' ἀρετὴν φανερὸς ἔσται καὶ τοὺς ὑποτεταγμένους παρασκευάζων πρὸς εὐανδρίαν. Οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ τὸ πολὺ γίγνεσθαι καὶ τοὺς ὑποτεταγμένους.» Καὶ ὁ Ζήνων ἀντιγράφει ὧδε· «Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν. Ἀποδέχομαί σου τὴν φιλομάθειαν καθόσον τῆς ἀληθινῆς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ' οὐχὶ τῆς δημώδους καὶ εἰς διαστροφὴν ἠθῶν ἀντέχῃ παιδείας. Ὁ δὲ φιλοσοφίας ὠρεγμένος, ἐκκλίνων δὲ τὴν πολυθρύλητον ἡδονήν, ἣ τινῶν θηλύνει νέων ψυχάς, φανερός ἐστιν οὐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων, ἀλλὰ καὶ προαιρέσει. Φύσις δὲ εὐγενὴς μετρίαν ἄσκησιν προσλαβοῦσα, ἔτι δὲ τὸν ἀφθόνως διδάξοντα, ῥαδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς. Ἐγὼ δὲ συνέχομαι σώματι ἀσθενεῖ διὰ γῆρας· ἐτῶν γάρ εἰμι ὀγδοήκοντα· διόπερ οὐ δύναμαί σοι συμμίξαι. Ἀποστέλλω δέ σοί τινας τῶν ἐμαυτοῦ συσχολαστῶν, οἳ τοῖς μὲν κατὰ ψυχὴν οὐκ ἀπολείπονται ἐμοῦ, τοῖς δὲ κατὰ σῶμα προτεροῦσιν· οἷς συνὼν οὐδενὸς καθυστερήσεις τῶν πρὸς τὴν τελείαν εὐδαιμονίαν ἀνηκόντων.»

11. ἐστι vulg.: corr. Richards.

2. Η ΠΑΡΑΔΟΣΗ ΤΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΖΗΝΩΝΟΣ

29 Eusebius, Praeparatio evangelica 15.13, 6-9:

…μεταβησόμεθα καὶ ἐπὶ τὴν τῶν Στωικῶν αἵρεσιν. (7) Σωκράτους τοίνυν ἀκουστὴς ἐγένετο Ἀντισθένης… (8) τούτου δὲ ἀκουστὴς γέγονε Διογένης ὁ Κύων. …τοῦτον Κράτης διεδέξατο· Κράτητος δὲ ἐγένετο Ζήνων ὁ Κιτιεύς, ὁ τῆς τῶν Στωικῶν φιλοσόφων αἱρέσεως καταστὰς ἀρχηγός. (9) Ζήνωνα δὲ Κλεάνθης διεδέξατο, Κλεάνθην δὲ Χρύσιππος, τοῦτον δὲ Ζήνων ἕτερος καὶ οἱ καθεξῆς. λέγονται δ' οὗτοι πάντες διαφερόντως καὶ βίου στερροῦ καὶ διαλεκτικῆς ἐπιμεληθῆναι.

ὅπως λέει καὶ ὁ Ἀπολλώνιος ὁ Τύριος σὲ ὅσα γράφει γιὰ τὸν Ζήνωνα· (7) «Ὁ βασιλεὺς Ἀντίγονος χαιρετᾶ τὸν Ζήνωνα τὸν φιλόσοφο. Ἐγὼ στὴν τύχη καὶ στὴ δόξα νομίζω ὅτι προπορεύομαι τοῦ δικοῦ σου βίου, ὅμως στὸν λόγο καὶ στὴν παιδεία καὶ στὴν τέλεια εὐδαιμονία, ποὺ ἐσὺ ἔχεις κάνει κτῆμα σου, καθυστερῶ. Γι' αὐτὸ ἀποφάσισα νὰ σοῦ ἀπευθύνω αὐτὴν τὴν ἐπιστολὴ νά 'ρθεῖς πρὸς ἐμένα, ἔχοντας τὴν πεποίθηση, ὅτι δὲν θὰ φέρεις ἀντίρρηση στὴν πρόσκλησή μου. Ἐσὺ λοιπὸν προσπάθησε μὲ κάθε τρόπο νὰ συναντηθεῖς μαζί μου κατανοώντας καλὰ τοῦτο, ὅτι δὲν θὰ εἶσαι παιδευτὴς ἑνὸς μόνον, ἀλλὰ ὅλων μαζὶ τῶν Μακεδόνων· γιατὶ αὐτὸς ποὺ παιδεύει τὸν ἄρχοντα τῆς Μακεδονίας καὶ τὸν καθοδηγεῖ στὴν ἀρετή, εἶναι φανερὸ ὅτι προετοιμάζει καὶ τοὺς ὑπηκόους του νὰ γίνουν ἄξιοι ἄνδρες. Γιατί, ὅπως εἶναι ὁ ἡγέτης, τέτοιοι εἶναι φυσικὸ νὰ γίνονται κατὰ τὸ πλεῖστον καὶ οἱ ὑπήκοοι.»

Καὶ ὁ Ζήνων ἀπαντᾶ ὡς ἑξῆς: (8) «Τὸν βασιλέα Ἀντίγονο ὁ Ζήνων χαιρετᾶ. Ἐπιδοκιμάζω τὴ φιλομάθειά σου ἐφ' ὅσον προσηλώνεται πρὸς τὴν ἀληθινὴ καὶ τὴν τείνουσα στὴν ὠφέλεια παιδεία, ὄχι ὅμως στὴν ἀγοραία, ποὺ τείνει στὴ διαστροφὴ τῶν ἠθῶν. Αὐτὸς δὲ ποὺ ὀρέγεται τὴ φιλοσοφία κι' ἀποστρέφεται τὴν πολυθρύλητη ἡδονή, ἡ ὁποία ἐκθηλύνει τὶς ψυχὲς τῶν νέων, εἶναι φανερὸ ὅτι ὄχι μόνο κλίνει πρὸς τὴν εὐγένεια ἀπὸ φυσικοῦ του ἀλλὰ καὶ ἀπὸ τὴ δική του ἐκλογὴ καὶ βούληση. Ἡ εὐγενὴς φύση προσθέτοντας τὴν ἄσκηση μὲ μέτρο, ἀκόμα δὲ καὶ τὸν δάσκαλο, ποὺ θὰ διδάξει πλούσια, εὔκολα φθάνει στὴν τέλεια ἀπόκτηση τῆς ἀρετῆς. (9) Ἐγὼ ὅμως ἐμποδίζομαι ἀπὸ τὸ ἀσθενικό μου σῶμα ἐξ αἰτίας τῶν γηρατειῶν· γιατὶ εἶμαι ὀγδόντα ἐτῶν: γι' αὐτὸ δὲν μπορῶ νὰ ρθῶ νὰ σὲ συναντήσω, σοῦ στέλλω ὅμως μερικοὺς συντρόφους μου στὴ Σχολή, ποὺ δὲν ὑπολείπονται στὴν ψυχὴ ἀπὸ μένα, ἐνῶ στὸ σῶμα εἶναι ἀνώτεροί μου· σ' αὐτοὺς ἂν μαθητεύσεις, δὲν θὰ ὑστερήσεις σὲ τίποτε ἀπ' αὐτὰ ποὺ ἀνεβάζουν στὴν τέλεια εὐδαιμονία.»

2. Η ΠΑΡΑΔΟΣΗ ΤΗΣ ΣΧΟΛΗΣ ΤΟΥ ΖΗΝΩΝΟΣ

29 Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15.13, 6-9:

…Ἂς μεταβοῦμε καὶ στὴ Σχολὴ τῶν Στωικῶν. (7) Ἕνας ἀκροατὴς τοῦ Σωκράτη λοιπὸν ἦταν ὁ Ἀντισθένης… (8) Τοῦ ὁποίου ἀκροατὴς ὑπῆρξε ὁ Διογένης ὁ Κύων… αὐτὸν τὸν διαδέχθηκε ὁ Κράτης. Τοῦ δὲ Κράτητος μαθητὴς ὑπῆρξε ὁ Ζήνων ὁ Κιτιεύς, ποὺ ἵδρυσε τὴ Σχολὴ καὶ ὑπῆρξε ἀρχηγός της. (9) Τὸν δὲ Ζήνωνα διαδέχθηκε ὁ Κλεάνθης, καὶ τὸν Κλεάνθη ὁ Χρύσιππος, κι' αὐτὸν πάλι ἕνας ἄλλος Ζήνων καὶ οἱ διάδοχοί του. Λέγεται δὲ γιὰ ὅλους αὐτούς, ὅτι καλλιέργησαν ἰδιαίτερα τὴ διαλεκτικὴ καὶ ἕνα εὐθύ, ἀνένδοτο τρόπο ζωῆς.

30 [Galenus], Historia philosophica 3, p. 600, 4-11 Diels:
Ἡγοῦμαι δὲ τῶν Σωκρατικῶν Ἀντισθένην πάνυ πολλῶν γενομένων οὐδενὸς ἥσσονα εἶναι (καταδεέστερος δέ), ὃς τὴν Κυνικὴν εἰς τὸν βίον παρήγαγεν. οὗ Διογένης γέγονε ζηλωτὴς προσομοιωθεὶς κατὰ τὰ ἐπιτηδεύματα. τούτου δὲ Ζήνων ὁ Κιτιεὺς ἀκήκοεν, ὃς τὴν Στωικὴν φιλοσοφίαν ἐξεῦρεν, οὗ μετειλήφει τῶν λόγων Κλεάνθης, καὶ τούτου Χρύσιππος ἀκροώμενος τὴν ὁμοίαν ἀγωγὴν μετελήλυθε. τοῦ δὲ Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς Ἀντιπάτρου καθηγητὴς γέγονε· τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο.

1. τὸν σωκρατικὸν ABN: corr. Diels 2. ἥσσονα εἶναι καταδεέστερος δὲ B: ἴσ' ⟨ο⟩ ἦν καταδεέστερ ⟨ο⟩ δὲ A καταδεέστερος δὲ del. Diels 2. τὴν νίκην AB et litem N 2. τήν] τινα AB 3. Διογένους AB

31 Strabo, Geographica 8.1, 57; C610:
Ἡ Ἄσσος… ἐντεῦθεν ἦν Κλεάνθης, ὁ Στωικὸς φιλόσοφος ὁ διαδεξάμενος τὴν Ζήνωνος τοῦ Κιτιέως σχολὴν καταλιπὼν δὲ Χρυσίππῳ τῷ Σολεῖ.

32 Diogenes Laertius 1.13-15:
Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί, ἥ τε ἀπὸ Ἀναξιμάνδρου καὶ ἡ ἀπὸ Πυθαγόρου· τοῦ μὲν Θαλοῦ διακηκοότος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο. καὶ ἐκαλεῖτο ἡ μὲν Ἰωνική, ὅτι Θαλῆς Ἴων ὤν, Μιλήσιος γάρ, καθηγήσατο Ἀναξιμάνδρου· ἡ δὲ Ἰταλικὴ ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα κατὰ τὴν Ἰταλίαν ἐφιλοσόφησεν. (14) καταλήγει δὲ ἡ μὲν εἰς Κλειτόμαχον καὶ Χρύσιππον καὶ Θεόφραστον (ἡ Ἰωνική)· ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θαλοῦ μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης ὁ τὴν ἠθικὴν εἰσαγαγών· οὗ οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων ὁ τὴν ἀρχαίαν Ἀκαδήμειαν συστησάμενος· οὗ Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων,… οὗ Καρνεάδης, οὗ Κλειτόμαχος. καὶ ὧδε μὲν εἰς Κλειτόμαχον. (15) Εἰς δὲ Χρύσιππον οὕτω καταλήγει· Σωκράτους Ἀντισθένης, οὗ Διογένης ὁ κύων, οὗ Κράτης ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιτιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. εἰς δὲ Θεόφραστον οὕτως· Πλάτωνος Ἀριστοτέλης, οὗ Θεόφραστος.

3. (ἡ ἰωνικὴ) del. Hübner

33 Suda s.v. Socrates, Vol. 4, p. 403 sq. (n. 829) Adler:
Φιλοσόφους δὲ εἰργάσατο (sc. ὁ Σωκράτης) Πλάτωνα…· καὶ Ἀρίστιπ-

30 [Γαληνός], Περὶ φιλοσόφου ἱστορίας 3, π. 600, 4-11 Diels:
Πιστεύω ὅμως, ὅτι ἀπὸ τοὺς Σωκρατικούς, ποὺ ἦταν τόσοι πολλοί, ὁ Ἀντισθένης δὲν ἦταν λιγότερο σημαντικὸς ἀπὸ κανένα. Αὐτὸς ἔφερε στὴ ζωὴ τὴν Κυνικὴ Σχολή, τῆς ὁποίας ὀπαδὸς ὑπῆρξε ὁ Διογένης, ὁ ὁποῖος μιμήθηκε τὶς συνήθειές του. Τούτου μαθητὴς ἦταν ὁ Ζήνων ὁ Κιτιεύς, ποὺ ἵδρυσε τὴ Στωικὴ φιλοσοφία. Τοῦ ὁποίου μέτοχος τῶν θεωριῶν ἔγινε ὁ Κλεάνθης. Κι' αὐτοῦ ὁ Χρύσιππος, ποὺ ἀκούοντάς τον ἀκολούθησε τὴν ἴδια διδασκαλία. Ἀκροατὴς τοῦ ὁποίου ὑπῆρξε ὁ Διογένης ὁ Βαβυλώνιος, ποὺ ἦταν καθηγητὴς τοῦ Ἀντιπάτρου. Καὶ κοντὰ σ' αὐτὸν σπούδασε ὁ Ποσειδώνιος.

31 Στράβων, Γεωγραφικὰ 8.1, 57; C 610:
Ἡ Ἄσσος… ἀπ' ἐκεῖ ἦταν ὁ Κλεάνθης, ὁ Στωικὸς φιλόσοφος ποὺ διαδέχθηκε τὸν Ζήνωνα τὸν Κιτιέα στὴ Σχολὴ καὶ τὴν παρέδωσε ὕστερα στὸν Χρύσιππο τὸν Σολέα.

32 Διογένης Λαέρτιος 1.13-15:
Ἡ φιλοσοφία εἶχε δύο ἀρχές, αὐτὴ ποὺ προερχόταν ἀπὸ τὸν Ἀναξίμανδρο καὶ αὐτὴ ἀπὸ τὸν Πυθαγόρα. Ὁ πρῶτος ἦταν μαθητὴς τοῦ Θαλῆ, ἐνῶ τοῦ Πυθαγόρα δάσκαλος ἦταν ὁ Φερεκύδης. Καὶ ὀνομαζόταν ἡ μιὰ Ἰωνικὴ σχολή, γιατὶ ὁ Θαλῆς ἦταν Ἴωνας, ἀφοῦ ἦταν Μιλήσιος καὶ δίδαξε τὸν Ἀναξίμανδρο, ἡ ἄλλη δὲ ὀνομαζόταν Ἰταλικὴ σχολὴ ἀπὸ τὸν Πυθαγόρα, ποὺ ἄσκησε τὴ φιλοσοφία τὸν περισσότερο καιρὸ στὴν Ἰταλία. (14) Ἡ πρώτη σχολὴ καταλήγει στὸν Κλειτόμαχο καὶ τὸν Χρύσιππο καὶ τὸν Θεόφραστο (ἡ Ἰωνική), ἡ δὲ Ἰταλικὴ στὸν Ἐπίκουρο. Γιατὶ τὸν Θαλῆ τὸν ἀκολουθεῖ ὁ ἕνας μετὰ τὸν ἄλλον ὁ Ἀναξίμανδρος, ὁ Ἀναξιμένης, ὁ Ἀναξαγόρας, ὁ Ἀρχέλαος, ὁ Σωκράτης, ὁ ὁποῖος εἰσήγαγε τὴν ἠθική. Καὶ οἱ ἄλλοι σωκρατικοὶ καὶ ὁ Πλάτων, ποὺ ἵδρυσε τὴν ἀρχαία Ἀκαδημία. Κι' αὐτὸν ἀκολουθεῖ ὁ Σπεύσιππος καὶ ὁ Ξενοκράτης, κι' αὐτὸν ὁ Πολέμων,… ὁ Καρνεάδης καὶ τέλος ὁ Κλειτόμαχος. Καὶ ἔτσι τοποθετεῖται ἡ σειρὰ ποὺ ὁδηγεῖ στὸν Κλειτόμαχο. (15) Ἡ διαδοχή, ποὺ καταλήγει στὸν Χρύσιππο, ἐμφανίζεται ὡς ἑξῆς: τὸν Σωκράτη τὸν ἀκολουθεῖ ὁ Ἀντισθένης, αὐτὸν ὁ Διογένης ὁ κύων, αὐτὸν ὁ Κράτης ὁ Θηβαῖος, κι' αὐτὸν ὁ ἕνας μετὰ τὸν ἄλλον ὁ Ζήνων ὁ Κιτιεύς, ὁ Κλεάνθης, ὁ Χρύσιππος. Καὶ ἡ σειρὰ ποὺ ὁδηγεῖ στὸν Θεόφραστο ἔτσι: τὸν Πλάτωνα ἀκολουθεῖ ὁ Ἀριστοτέλης, κι' αὐτὸν ὁ Θεόφραστος.

33 Σουίδας, ἐν λ. Σωκράτης, τόμ. 4, p. 403sq. (n. 829) Adler:
Τοὺς διέπλασε σὲ φιλοσόφους (ἐνν. ὁ Σωκράτης) τὸν Πλάτωνα… καὶ

πον Κυρηναῖον…· Φαίδωνα Ἠλεῖον…· Ἀντισθένην, ὃς τὴν Κυνικὴν εἰσήγαγεν αἵρεσιν· Εὐκλείδην Μεγαρέα, καὶ αὐτὸν ἰδίαν συστησάμενον σχολήν, ἥτις ἀπ' αὐτοῦ ἐκλήθη Μεγαρική, ἀπὸ δὲ Κλεινομάχου τοῦ μαθητοῦ Εὐκλείδου ἐκλήθη Διαλεκτική· Ξενοφῶντα Γρύλλου, Αἰσχίνην, Λυσανίαν Σφήττιον, Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην· ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδου, ηὔξησε δὲ Κλεινόμαχος, καὶ πολλῶν δι' αὐτῆς ἐλθόντων, ἔληξεν εἰς Ζήνωνα τὸν Κιτιέα· οὗτος γὰρ ἀπ' αὐτοῦ Στωικὴν ἐκ τοῦ τόπου τὴν σχολὴν ὠνόμασε, γεγονὼς ἐπὶ τῆς ρκε΄ Ὀλυμπιάδος· τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους, ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι· τούτου δὲ καὶ Πύρρων ἠκροάσατο, ἀφ' οὗπερ οἱ Πυρρώνειοι προσαγορευόμενοι· Ἀλκιβιάδην, Κριτόβουλον,…

4. Κλεινομάχου A: Κλεινοδάμου G 5. Γρύλλου A: Γρύλλον G, 6. Λυσανίου «egregie Hemsterhuis» (Adler)

34 [Lucianus], Macrobii § 19-21, Vol. 1. p. 78sq. MacLeod:
Ζήνων δὲ ὁ τῆς Στωικῆς φιλοσοφίας ἀρχηγὸς ὀκτὼ καὶ ἐνενήκοντα· ὃν φασιν εἰσερχόμενον εἰς τὴν ἐκκλησίαν καὶ προσπταίσαντα ἀναφθέγξασθαι, «Τί με βοᾷς;» καὶ ὑποστρέψαντα οἴκαδε καὶ ἀποσχόμενον τροφῆς τελευτῆσαι τὸν βίον. Κλεάνθης δὲ ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος ἐννέα καὶ ἐνενήκοντα οὗτος γεγονὼς ἔτη φῦμα ἔσχεν ἐπὶ τοῦ χείλους καὶ… ἐξέλιπε τὸν βίον. (20)… Χρύσιππος ἦν καὶ ὀγδοήκοντα· Διογένης δὲ ὁ Σελευκεὺς ἀπὸ Τίγριος Στωικὸς φιλόσοφος ὀκτὼ καὶ ὀγδοήκοντα· Ποσειδώνιος Ἀπαμεὺς τῆς Συρίας, νόμῳ δὲ Ῥόδιος, φιλόσοφός τε ἅμα καὶ ἱστορίας συγγραφεὺς τέσσαρα καὶ ὀγδοήκοντα·… (21) Ἀθηνόδωρος Σάνδωνος Ταρσεὺς Στωικός, ὃς καὶ διδάσκαλος ἐγένετο Καίσαρος Σεβαστοῦ Θεοῦ… δύο καὶ ὀγδοήκοντα.

34α Diogenes Laertius 7.31:
Εἴπομεν ὡς ἐτελεύτα ὁ Ζήνων καὶ ἡμεῖς ἐν τῇ Παμμέτρῳ τοῦτον τὸν τρόπον·

Τὸν Κιτιᾶ Ζήνωνα θανεῖν λόγος ὡς ὑπὸ γήρως
πολλὰ καμὼν ἐλύθη μένων ἄσιτος·
οἱ δ', ὅτι προσκόψας ποτ' ἔφη χερὶ γαῖαν ἁλοίσας
ἔρχομαι αὐτόματος· τί δὴ καλεῖς με;

35 Plutarchus, De Stoicorum repugnantiis 2.1033 C-E:
Αὐτὸς γοῦν Χρύσιππος ἐν τῷ τετάρτῳ περὶ Βίων οὐδὲν οἴεται τὸν σχολαστικὸν βίον τοῦ ἡδονικοῦ διαφέρειν·… τίς οὖν μᾶλλον ἐν τῷ σχολαστικῷ βίῳ τούτῳ κατεγήρασεν ἢ Χρύσιππος καὶ Κλεάνθης καὶ Διογένης καὶ Ζήνων καὶ Ἀντίπατρος, οἵ γε καὶ τὰς αὐτῶν κατέλιπον πατρίδας

τὸν Ἀρίστιππο τὸν Κυρηναῖο… τὸν Φαίδωνα τὸν Ἠλεῖο… τὸν Ἀντισθένη, ποὺ ὑπῆρξε εἰσηγητὴς τῆς Κυνικῆς Σχολῆς. Τὸν Εὐκλείδη τὸν Μεγαρέα, ποὺ ἐπίσης ἵδρυσε τὴ δική του σχολή, ποὺ ὀνομάστηκε ἀπ' αὐτὸν Μεγαρική, κι' ἀπὸ τὸν Κλεινόμαχο τὸν μαθητὴ τοῦ Εὐκλείδη ὀνομάστηκε Διαλεκτική. Τὸν Ξενοφῶντα τὸν γιὸ τοῦ Γρύλλου, τὸν Αἰσχίνη, τὸν Λυσανία τὸν Σφήττιο, τὸν Κέβητα τὸν Θηβαῖο, τὸν Γλαύκωνα τὸν Ἀθηναῖο, τὸν Βρύσωνα τὸν Ἡρακλεώτην, ὁ ὁποῖος ἔγινε εἰσηγητὴς τῆς ἐριστικῆς διαλεκτικῆς μαζὶ μὲ τὸν Εὐκλείδη, καὶ ὁ Κλεινόμαχος τὴν αὔξησε καὶ ἀφοῦ πέρασαν ἀπὸ τὴ σχολὴν αὐτὴ πολλοί, κατέληξε στὸν Ζήνωνα τὸν Κιτιέα. Αὐτὸς δηλ. τὴ Στωικὴ Σχολή, ποὺ προέρχεται ἀπ' αὐτόν, τὴν ὀνόμασε ἔτσι ἀπὸ τὸν τόπο· καὶ γεννήθηκε τὴν 125η Ὀλυμπιάδα. Μερικοὶ ὡστόσο γράφουν ὅτι ὁ Βρύσων δὲν ἦταν μαθητὴς τοῦ Σωκράτη ἀλλὰ τοῦ Εὐκλείδη. Τὸν Βρύσωνα τὸν ἄκουσε καὶ ὁ Πύρρων, ἀπὸ τὸν ὁποῖο πῆραν τὸ ὄνομά τους, οἱ Πυρρώνειοι – ὁ Ἀλκιβιάδης, ὁ Κριτόβουλος,…

34 [Λουκιανός], Μακρόβιοι § 19-21, Vol. 1. p. 78sq. MacLeod:
Ὁ Ζήνων ὁ ἱδρυτὴς τῆς Στωικῆς φιλοσοφίας ἔζησε 98 χρόνια. Λένε, ὅτι καθὼς εἰσερχόταν στὴν ἐκκλησία τοῦ δήμου σκουντούφλησε καὶ ξεφώνισε: «γιατὶ μὲ καλεῖς;» Ἐπιστρέφοντας ὕστερα στὸ σπίτι του τήρησε ἀποχὴ ἀπὸ τὴν τροφὴ καὶ ἔδωσε ἔτσι ἕνα τέλος στὴ ζωή του. Ὁ Κλεάνθης, ὁ μαθητὴς τοῦ Ζήνωνος καὶ διάδοχός του, ἔγινε 99 ἐτῶν, ὅταν ἔβγαλε ἕνα ὄγκο στὰ χείλη καί… ἀπεβίωσε. (20) Ὁ Χρύσιππος ἔγινε 81 ἐτῶν. Ὁ Διογένης ἀπὸ τὴ Σελεύκεια κοντὰ στὸν Τίγρη, ἕνας Στωικὸς φιλόσοφος, ἔγινε 88 ἐτῶν. Ὁ Ποσειδώνιος ἀπὸ τὴν Ἀπάμεια τῆς Συρίας, διὰ νόμου Ρόδιος, ἕνας φιλόσοφος καὶ συγγραφέας ἱστορίας, 84 ἐτῶν·… (21) Ὁ Ἀθηνόδωρος ἀπὸ τὴν Ταρσό, γιὸς τοῦ Σάνδωνος, Στωικός, ποὺ ὑπῆρξε καὶ δάσκαλος τοῦ Καίσαρος Αὐγούστου… πέθανε σὲ ἡλικία 82 ἐτῶν.

34α Διογένης Λαέρτιος 7.31:
Εἴπαμε κι' ἐμεῖς πῶς πέθανε ὁ Ζήνων στὴν Πάμμετρο μ' αὐτὸν τὸν τρόπο·

> Λὲν γιὰ τὸν Ζήνωνα τὸν Κιτιέα πὼς πέθανε ἀπὸ γηρατειὰ
> καὶ μένοντας χωρὶς τροφὴ ἀπ' τὰ πολλὰ τὰ βάσανα λυτρώθη·
> ἄλλοι ὅμως, πὼς σκουντούφλησε κι' εἶπε τὴ γῆ κτυπώντας
> ἔρχομαι ἀπὸ μόνος μου· τί λοιπὸν μὲ φωνάζεις;

35 Πλούταρχος, Περὶ Στωικῶν ἐναντιωμάτων 2.1033 C-E:
Ὁ ἴδιος ὁπωσδήποτε ὁ Χρύσιππος στὸ τέταρτο βιβλίο του «Περὶ τῶν βίων» θεωρεῖ ὅτι δὲν διαφέρει σὲ τίποτε μιὰ ζωὴ ὅλο σχόλη, ἀφιερωμένη στὶς ἐπιστῆμες, ἀπὸ μιὰ ζωὴ δοσμένη στὴν ἀπόλαυση… Γιατὶ ποιὸς ἔφτασε σὲ τόσο μεγάλη ἡλικία σ' αὐτὴ τὴ ζωὴ γεμάτη σχόλη ἀφιερωμένη

οὐδὲν ἐγκαλοῦντες ἀλλ' ὅπως καθ' ἡσυχίαν ἐν τῷ Ὠιδείῳ καὶ ἐπὶ Ζωστῆρος σχολάζοντες καὶ φιλολογοῦντες διάγωσιν;

5. Ὠιδείῳ Salmasius: ἡδίωι X: ἰδίω g: ἡδίονι dvza ΑβγΕ: ἡδείω Β 6. φιλοσοφοῦντες vz

36 Cicero, Tusculanae disputationes 5.37, 107:
Iam vero exilium, si rerum naturam, non ignominiam nominis quaerimus, quantum tandem a perpetua peregrinatione differt? in qua aetates suas philosophi nobilissimi consumpserunt, Xenocrates Grantor Arcesilas Lacydes Aristoteles Theophrastus Zeno Cleanthes Chrysippus Antipater Carneades Clitomachus Philo Antiochus Panaetius Posidonius, innumerabiles alii, qui semel egressi numquam domum reverterunt.

2. tandem a Davisius: damna X (damna a V^3) 4-5. carneades philo antiochus posidonius G1 R1 V1: post carneades add. panaetius clitomachus philo (philoa H) antiochus possidonius KH: verum ordinem restit. Heine.

37 Plutarchus, De Stoicorum repugnantiis 4.1034A:
Καὶ μὴν Ἀντίπατρος ἐν τῷ περὶ τῆς Κλεάνθους καὶ Χρυσίππου διαφορᾶς ἱστόρηκεν ὅτι Ζήνων καὶ Κλεάνθης οὐκ ἠθέλησαν Ἀθηναῖοι γενέσθαι, μὴ δόξωσι τὰς αὐτῶν πατρίδας ἀδικεῖν. ὅτι μέν, εἰ καλῶς οὗτοι, Χρύσιππος οὐκ ὀρθῶς ἐποίησεν ἐγγραφεὶς εἰς τὴν πολιτείαν παρείσθω.

38 Dio Chrysostomus, Λόγοι 47.2:
Ὡς ἐγὼ πρότερον μὲν ἐθαύμαζον τῶν φιλοσόφων τοὺς καταλιπόντας μὲν τὰς αὐτῶν πατρίδας, οὐδενὸς ἀναγκάζοντος, παρ' ἄλλοις δὲ ζῆν ἑλομένους, καὶ ταῦτα ἀποφαινομένους αὐτοὺς ὅτι δεῖ τὴν πατρίδα τιμᾶν καὶ περὶ πλείστου ποιεῖσθαι καὶ ὅτι πράττειν τὰ κοινὰ καὶ πολιτεύεσθαι τῷ ἀνθρώπῳ κατὰ φύσιν ἐστίν. λέγω δὲ τὸν Ζήνωνα, τὸν Χρύσιππον, τὸν Κλεάνθην, ὧν οὐδεὶς οἴκοι ἔμεινε ταῦτα λεγόντων.

2. αὐτῶν v. Arnim: αὐτῶν codd. 6. λέγων malit Emperius

39 Quintilianus, Institutio oratoria 12.1, 18:
Quod si defuit his viris summa virtus, sic quaerentibus an oratores fuerint respondebo quo modo Stoici, si interrogentur an sapiens Zenon, an Cleanthes, an Chrysippus ipse, respondeant, magnos quidem illos ac venerabiles, non tamen id quod natura hominis summum habet consecutos.

στὶς ἐπιστῆμες περισσότερο ἀπὸ τὸν Χρύσιππο καὶ τὸν Κλεάνθη καὶ τὸν Διογένη καὶ τὸν Ζήνωνα καὶ τὸν Ἀντίπατρο, ποὺ ἐγκατέλειψαν μάλιστα τὶς πατρικές των πόλεις, χωρὶς νὰ ἔχουν τίποτε εἰς βάρος των, παρὰ μόνο γιὰ νὰ κάθονται ἥσυχα μέσα στὸ Ὠδεῖο καὶ νὰ περνοῦν τὸν χρόνο τους πάνω στὸν Ζωστῆρα διαλεγόμενοι καὶ ἀναπτύσσοντας λόγους;

36 Cicero, Tuscul. disput. 5.37, 107:
Ἂν ὅμως ἐξετάσουμε τὴν ἐξορία σύμφωνα μὲ τὰ πράγματα καὶ ὄχι σύμφωνα μὲ τὴν ντροπή, ποὺ ἀποδίδεται στὴ δήλωσή της, πόσο διαφέρει ἀπὸ τὴ σταθερὴ παραμονὴ στὴν ξενιτειά; Σ' αὐτὴ πέρασαν τὴ ζωή τους οἱ πιὸ ξακουστοὶ φιλόσοφοι: ὁ Ξενοκράτης, ὁ Κράντωρ, ὁ Ἀρκεσίλαος, ὁ Λακύδης, ὁ Ἀριστοτέλης, ὁ Θεόφραστος, ὁ Ζήνων, ὁ Κλεάνθης, ὁ Χρύσιππος, ὁ Ἀντίπατρος, ὁ Καρνεάδης, ὁ Κλειτόμαχος, ὁ Φίλων, ὁ Ἀντίοχος, ὁ Παναίτιος, ὁ Ποσειδώνιος, καὶ ἀναρίθμητοι ἄλλοι, ποὺ μιὰ κι' ἔφυγαν ἀπὸ τὴν πατρίδα τους δὲν ξαναγύρισαν ποτέ.

37 Πλούταρχος, Περὶ Στωικῶν ἐναντιωμάτων 4.1034A:
Καὶ ὁ Ἀντίπατρος στὴ συνέχεια στὸ βιβλίο του γιὰ τὴ διαφορὰ ἀνάμεσα στὸν Κλεάνθη καὶ τὸν Χρύσιππο ἀνέφερε, ὅτι ὁ Ζήνων καὶ ὁ Κλεάνθης δὲν θέλησαν νὰ γίνουν Ἀθηναῖοι, γιὰ νὰ μὴ φανοῦν ὅτι ἀδικοῦν τὶς πατρίδες των. Ἂν ἔπραξαν καλά, ὁ Χρύσιππος δὲν ἐνέργησε σωστά, ποὺ πολιτογραφήθηκε. Ὡστόσο, ἂς τὸ ἀφήσουμε αὐτὸ κατὰ μέρος.

38 Δίων ὁ Χρυσόστομος, Λόγοι 47.2:
Παλαιότερα ἐθαύμαζα τοὺς φιλοσόφους, ποὺ ἐγκατέλειψαν τὶς πατρίδες των, χωρὶς νὰ τοὺς ἀναγκάζει κανείς, καὶ προτίμησαν νὰ ζοῦν κοντὰ σὲ ἄλλους ἀνθρώπους, καὶ συγχρόνως ἔλεγαν ὅτι πρέπει νὰ τιμοῦμε τὴν πατρίδα καὶ νὰ τὴ φροντίζουμε πάνω ἀπ' ὅλα καὶ ὅτι εἶναι στὴ φύση τοῦ ἀνθρώπου νὰ πολιτεύεται καὶ νὰ λαμβάνει ἐνεργὸ μέρος στὸν δημόσιο βίο. Ἀναφέρομαι δὲ στὸν Ζήνωνα, τὸν Χρύσιππο, τὸν Κλεάνθη, ἀπὸ τοὺς ὁποίους κανένας δὲν ἔμεινε στὴν πατρίδα του, παρ' ὅλον ὅτι μιλοῦσαν ἔτσι.

39 Quintilianus, Inst. orat. 12.1, 18:
Ἀλλὰ κι' ἂν ἀκόμα καὶ σ' αὐτοὺς τοὺς ἄνδρες (δηλ. τὸν Δημοσθένη καὶ τὸν Κικέρωνα) ἔλειπε ἡ πληρότητα τῆς ἀρετῆς, θὰ ἤθελα σ' ἐκείνους, ποὺ ἐρωτοῦν, ἂν ἦταν ρήτορες, νὰ ἀπαντήσω, ὅπως οἱ Στωικοί, ὅταν θὰ ἐρωτοῦνταν, ἂν ὁ Ζήνων, ὁ Κλεάνθης ἢ ὁ Χρύσιππος ἦταν σοφοί, θὰ ἀπαντοῦσαν ὅτι οἱ ἄνθρωποι αὐτοὶ ἦταν σημαντικοὶ καὶ ἀξιοσέβαστοι, ἀλλὰ δὲν ἔφτασαν αὐτὸ ποὺ θὰ ἀποτελοῦσε τὴν ὕψιστη πληρότητα τῆς φύσης τοῦ ἀνθρώπου.

40 Clemens Alex., Stromata 5.9 § 58, 2, p. 365 Fr.:
Ἀλλὰ καὶ οἱ Στωικοὶ λέγουσι Ζήνωνι τῷ πρώτῳ γεγράφθαι τινά, ἃ μὴ ῥᾳδίως ἐπιτρέπουσι τοῖς μαθηταῖς ἀναγινώσκειν, μὴ οὐχὶ πεῖραν δεδωκόσι πρότερον, εἰ γνησίως φιλοσοφοῖεν.

41 Quintilianus, Institutio oratoria 10.1, 84; 12.2, 25:
10.1, 84: Minus indulsere eloquentiae Stoici veteres, sed cum honesta suaserunt, tum in colligendo probandoque ⟨quae⟩ instituerant plurimum valuerunt, rebus tamen acuti magis quam, id quod sane non adfectarunt, oratione magnifici.
12.2, 25: Stoici, sicut copiam nitoremque eloquentiae fere praeceptoribus suis defuisse concedant necesse est, ita nullos aut probare acrius aut concludere subtilius contendunt.

2. *-que quae* corrector (s. XV) codicis Laurent. 46.7 (s. X) *-que* supplementum partis antiquioris codicis Bamberg. M. 4.14 (s.X) cod Paris. lat. 7231 (s. XI): *que quod* codd. Paris. lat. 7696 (s. XI), post corr. et Vatic. Lat. 1766 (s. XV) 2. *instituerat* supplementum partis antiqu. cod. Bamberg M. 4.14: *-erant* rell.

3. ΟΙ ΜΑΘΗΤΕΣ ΚΑΙ ΟΙ ΔΙΑΔΟΧΟΙ ΤΟΥ ΖΗΝΩΝΟΣ

42 Diogenes Laertius 7.36-38:
Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, ἔνδοξοι δὲ Περσαῖος Δημητρίου Κιτιεύς, ὃν οἱ μὲν γνώριμον αὐτοῦ, οἱ δὲ οἰκέτην ἕνα τῶν εἰς βιβλιογραφίαν πεμπομένων αὐτῷ παρ' Ἀντιγόνου, οὗ καὶ τροφεὺς ἦν τοῦ παιδὸς Ἀλκυονέως… (37) Ἀρίστων Μιλτιάδου Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος. Ἥριλλος Χαλκηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών. Διονύσιος ὁ μεταθέμενος εἰς τὴν ἡδονήν. οὗτος ἦν Ἡρακλεώτης. Σφαῖρος Βοσποριανός· Κλεάνθης Φανίου Ἄσσιος, ὁ διαδεξάμενος τὴν σχολήν· ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις. αἱ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. διήκουσε δ' ὁ Σφαῖρος καὶ Κλεάνθους μετὰ τὴν Ζήνωνος τελευτήν· καὶ λέξομεν περὶ αὐτοῦ ἐν τῷ Περὶ Κλεάνθους. (38) ἦσαν δὲ Ζήνωνος μαθηταὶ καὶ οἵδε, καθά φησιν Ἱππόβοτος· Φιλωνίδης Θηβαῖος, Κάλλιππος Κορίνθιος, Ποσειδώνιος Ἀλεξανδρεύς, Ἀθηνόδωρος Σολεύς, Ζήνων Σιδόνιος.

3. αὐτῷ περ Ἀντιγόνου] παρ' αὐτοῦ Ἀντιγόνῳ propos. della Corte ap. E.V. Alfieri / M. Untersteiner (eds.). Studi di filosofia greca. Bari 1950, p. 310 4. Μιλτιάδου Hübner, Μιλτιάδης codd. I 5. Χαλκηδόνιος von der Mühll - Gigante, Hülser: Καρχηδόνιος codd. Long 9. γράφονται] ἐγγράφ. Reiske

40 Κλήμης ὁ Ἀλεξανδρεύς, Στρωματεῖς 5.9 § 58, 2, p. 365 Fr.:
Ἀλλὰ καὶ οἱ Στωικοὶ λένε, ὅτι ὁ Ζήνων πρῶτος εἶχε γράψει μερικά, ποὺ δὲν ἐπιτρέπουν στοὺς μαθητὲς εὔκολα νὰ τὰ διαβάσουν, ἐκτὸς ἐὰν χωρὶς ἄλλο προηγουμένως ἔχουν ὑποστεῖ μιὰ δοκιμασία, ἂν γνήσια φιλοσοφοῦν.

41 Quintilianus, Inst. orat. 10.1, 84; 12.2, 25:
10.1, 84: Οἱ ἀρχαῖοι Στωικοὶ λίγο καλλιεργοῦσαν τὴν εὐγλωττία, ἀλλὰ συνηγοροῦσαν ὑπὲρ τῆς ἀρετῆς, καὶ ὁτιδήποτε ἀπὸ κανόνες θεσμοθέτησαν σχετικὰ μὲ τὴν ἐπιχειρηματολογία καὶ τὴν ἀπόδειξη, ἔχει μεγάλη ἀξία. Ὥστόσο ἦταν περισσότερο ὀξυδερκεῖς στὰ πράγματα παρὰ σημαντικοὶ στοὺς λόγους, κάτι βέβαια ποὺ δὲν ἐπεδίωκαν.
12.2, 25: Οἱ Στωικοὶ παραδέχονταν ἐξ ἀνάγκης, ὅτι ἀπὸ τοὺς δασκάλους των ἔλειπε κατὰ κανόνα ἡ πληρότητα καὶ ἡ λάμψη τῆς εὐγλωττίας. Ἐν τούτοις ἐπιμένουν ἐξ ἴσου, ὅτι κανεὶς δὲν ἦταν σὲ θέση νὰ διατυπώσει ὀξυδερκέστερες ἀποδείξεις καὶ πιὸ ἐκλεπτυσμένα συμπεράσματα.

3. ΟΙ ΜΑΘΗΤΕΣ ΚΑΙ ΟΙ ΔΙΑΔΟΧΟΙ ΤΟΥ ΖΗΝΩΝΟΣ

42 Διογένης Λαέρτιος 7.36-38:
Μαθητὲς τοῦ Ζήνωνος ὑπῆρξαν πολλοί, ἔνδοξοι ὅμως ἦταν ὁ Περσαῖος, γιὸς τοῦ Δημητρίου, Κιτιεύς, ποὺ σύμφωνα μὲ μερικοὺς ἦταν ἔμπιστός του, σύμφωνα μὲ ἄλλους ἦταν οἰκιακός του βοηθός, τὸν ὁποῖο ἔστειλε σ' αὐτὸν γιὰ τὴ γραφὴ βιβλίων ὁ Ἀντίγονος. Καὶ στοῦ ὁποίου τὸν γιό, τὸν Ἁλκυονέα, ὑπῆρξε παιδαγωγός… (37) Ὁ Ἀρίστων, γιὸς τοῦ Μιλτιάδη, Χιώτης, ποὺ εἰσήγαγε τὴ διδασκαλία γιὰ τὴν ἠθικὴ ἀδιαφορία. Ὁ Ἥριλλος ὁ Χαλκηδόνιος, ποὺ δήλωσε τὸν σκοπὸ τῶν ἐπιστημῶν. Ὁ Διονύσιος, ποὺ ἀποστάτησε πρὸς τὴν ἡδονή… αὐτὸς ἦταν Ἡρακλειώτης. Ὁ Σφαῖρος ὁ Βοσποριανός. Ὁ Κλεάνθης, ὁ γιὸς τοῦ Φανίου, ἀπὸ τὴν Ἄσσο, ποὺ τὸν διαδέχθηκε στὴ σχολή. Αὐτὸν τὸν παρομοίαζε (ὁ Ζήνων) μὲ τοὺς σκληροὺς κήρινους πίνακες, ποὺ μετὰ δυσκολίας γράφονται, διατηροῦν ὅμως τὰ γραφέντα. Ὁ Σφαῖρος ἄκουσε καὶ τὸν Κλεάνθη μετὰ τὸν θάνατο τοῦ Ζήνωνος. Καὶ θὰ μιλήσουμε γι' αὐτὸν στὸ κεφάλαιο Περὶ Κλεάνθους. (38) Μαθητὲς τοῦ Ζήνωνος ἦταν καὶ οἱ ἑξῆς, ὅπως λέει ὁ Ἱππόβοτος: Ὁ Φιλωνίδης ὁ Θηβαῖος, ὁ Κάλλιππος ὁ Κορίνθιος, ὁ Ποσειδώνιος ὁ Ἀλεξανδρεύς, ὁ Ἀθηνόδωρος ὁ Σολεύς, ὁ Ζήνων ὁ Σιδώνιος.

43 Stoicorum Index Herculanensis col. 10.2-10:

Κλεάν⟨θης Φ⟩αινίου
Ἄσσιος, ὁ καὶ τ⟨ὴν⟩ Σ⟨χ⟩ολὴν
παραλαβών· Διονύσι-
ος Θεοφάν⟨τ⟩ου, κα⟨θ⟩άπερ
Ἀντίγονος ἔγραψεν, Ἡρα-
κλεώτης, ὁ Μεταθέμε-
νος· Ἀρίστων Μιλτιάδ(ο)⟨υ
Χῖος, ὁ τὴν ἀδιαφορία⟨ν
τέλος ἀποφηνάμενος

44 Galenus, Historia philosophica 2 (Kühn vol. 19, p. 227):

Τούτου δὲ [τοῦ Ἀντισθένους τοῦ Κυνικοῦ] Ζήνων ὁ Κιτιεὺς ἀκήκοεν. ὃς καὶ τὴν Στωικὴν φιλοσοφίαν ἐξεῦρεν. οὗ μετειλήφει τῶν λόγων Κλεάνθης καὶ τούτου Χρύσιππος ἀκροώμενος τὴν ὁμοίαν ἀγωγὴν μετελήλυθε. τοῦ δὲ Διογένης ὁ Βαβυλώνιος ἀκροατὴς γεγονὼς Ἀντιπάτρου καθηγητὴς γέγονε. τούτου δὲ Ποσειδώνιος ἠκροᾶτο.

45 Eusebius, Praeparatio evangelica 15.13 (PG. 21 col. 1341):

Ζήνωνα δὲ Κλεάνθης διεδέξατο, Κλεάνθην δὲ Χρύσιππος· τοῦτον δὲ Ζήνων ἕτερος καὶ οἱ καθεξῆς. Λέγονται δ' οὗτοι πάντες διαφερόντως καὶ βίου στερροῦ καὶ διαλεκτικοῦ ἐπιμεληθῆναι.

46 Origenes, Contra Celsum 3.54:

Ἢ καὶ ἡμεῖς μέλλομεν ἐγκαλεῖν φιλοσόφοις οἰκότριβας ἐπ' ἀρετὴν προτρεψαμένοις, Πυθαγόρᾳ μὲν τὸν Ζάμολξιν, Ζήνωνι δὲ τὸν Περσαῖον, καὶ χθὲς καὶ πρώην τοῖς προτρεψαμένοις Ἐπίκτητον ἐπὶ τὸ φιλοσοφεῖν;

47 Diogenes Laertius 7.6:

Ἐτίμων δὴ οὖν οἱ Ἀθηναῖοι σφόδρα τὸν Ζήνωνα οὕτως ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι καὶ χρυσῷ στεφάνῳ τιμῆσαι καὶ χαλκῇ εἰκόνι. τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγουμένους τὴν ἀνδρὸς εἰκόνα. ἀντεποιοῦντο δ' αὐτοῦ καὶ οἱ ἐν Σιδῶνι Κιτιεῖς. ἀπεδέχετο δὲ αὐτὸν καὶ Ἀντίγονος καὶ εἴποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ πολλά τε καὶ παρεκάλει ἀφικέσθαι αὐτόν. ὁ δὲ τοῦτο μὲν παρῃτήσατο, Περσαῖον δὲ ἕνα τῶν γνωρίμων ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ τὸ γένος, καὶ ἤκμαζε κατὰ τὴν τριακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος.

4. τε ἀνδρὸς B. 5 δ' om. P.

43 Stoic. Ind. Herc. col. 10.2-10:

Κλεάνθης, γιὸς τοῦ Φαινία,
ἀπ' τὴν Ἄσσο, ποὺ καὶ τὴ Σχολὴ
ἀνάλαβε. Διονύσιος, ὁ γιὸς
τοῦ Θεόφαντου, ὅπως
ὁ Ἀντίγονος ἔγραψε, ὁ Ἡρακλεώτης
αὐτὸς ποὺ μεταπήδησε (μεταθέμενος)
Ὁ Ἀρίστων, ὁ γιὸς τοῦ Μιλτιάδου
ὁ Χιώτης, αὐτὸς ποὺ τὴν ἀδιαφορία
σὰν σκοπὸ ὑπέρτατο ἀνακήρυξε.

44 Γαληνός, Περὶ φιλοσόφου ἱστορίας 2 (Kühn vol. 19 p. 227):
Αὐτοῦ δὲ τοῦ Ἀντισθένη τοῦ Κυνικοῦ μαθητὴς ἦταν ὁ Ζήνων ὁ Κιτιεύς, ὁ ὁποῖος ἵδρυσε καὶ τὴ Στωικὴ φιλοσοφία. Μέτοχος τῆς διδασκαλίας του ὑπῆρξε ὁ Κλεάνθης. Κι' αὐτοῦ μαθητὴς ἦταν ὁ Χρύσιππος, ποὺ ἀκολούθησε τὴν ἴδια διδασκαλία. Αὐτοῦ δὲ ἔγινε μαθητὴς ὁ Διογένης ὁ Βαβυλώνιος, ποὺ ὑπῆρξε καθηγητὴς τοῦ Ἀντίπατρου. Κι' αὐτοῦ μαθητὴς ἦταν ὁ Ποσειδώνιος.

45 Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15.13 (PG. 21 col. 1341):
Τὸν Ζήνωνα δὲ διαδέχθηκε ὁ Κλεάνθης, καὶ τὸν Κλεάνθη ὁ Χρύσιππος. Αὐτὸν δὲ ὁ ἄλλος Ζήνων καὶ οἱ λοιποὶ ὁ ἕνας μετὰ τὸν ἄλλο. Λέγεται δὲ ὅτι καλλιέργησαν ἕνα βίο ὑπερβολικὰ αὐστηρὸ καὶ ἐπιδέξιο στὴ διαλεκτική.

46 Ωριγένης, Κατὰ Κέλσου 3.54:
Ἢ μήπως κι' ἐμεῖς θὰ κατηγορήσουμε τοὺς φιλοσόφους, ποὺ παρότρυναν στὴν ἀρετὴ τοὺς σπιτικούς των δούλους, τὸν Πυθαγόρα, ποὺ παρότρυνε τὸν Ζάλμοξη, τὸν Ζήνωνα, ποὺ ἔκανε τὸ ἴδιο μὲ τὸν Περσαῖο, καὶ χθὲς καὶ τώρα μόλις αὐτοὺς ποὺ προέτρεψαν τὸν Ἐπίκτητο στὴ φιλοσοφία;

47 Διογένης Λαέρτιος 7.6:
Τὸν ἐτιμοῦσαν πολὺ τὸν Ζήνωνα οἱ Ἀθηναῖοι, ἔτσι ποὺ τοῦ παρέδωσαν καὶ τὰ κλειδιὰ τῶν τειχῶν καὶ τὸν τίμησαν μὲ χρυσὸ στεφάνι καὶ μὲ χαλκὸ ἀνδριάντα. Κι' αὐτὸ τὸ ἔκαναν καὶ οἱ συμπολίτες του, ποὺ θεώρησαν τὸν ἀνδριάντα του κόσμημα γιὰ τὴν πόλη τους, καὶ οἱ Κιτιεῖς ποὺ ζοῦσαν στὴ Σιδώνα τὸν διεκδικοῦσαν ὡς συμπολίτη τους. Ἦταν εὐπρόσδεκτος καὶ ἀπὸ τὸν Ἀντίγονο (τὸν Γονατᾶ) καὶ ὅποτε βρισκόταν στὴν Ἀθήνα ἄκουε τὶς παραδόσεις του καὶ τὸν καλοῦσε συχνὰ νὰ τὸν ἐπισκεφθεῖ. Ὁ Ζήνων σ' αὐτὸ μὲν δὲν ἀνταποκρινόταν, ἔστειλε ὅμως τὸν Περσαῖο, τὸν γιὸ τοῦ Δημητρίου, ἕναν ἀπὸ τοὺς φίλους του, ποὺ καταγόταν ἀπὸ τὸ Κίτιο καὶ ἦταν στὴν ἀκμὴ τῆς ἡλικίας του τὴν 130ὴ Ὀλυμπιάδα (260-257 π.Χ.), ὅταν ἤδη ὁ Ζήνων ἦταν γέροντας.

48 Suda, s.v. Persaios, Vol. 4, p. 114 Adler:
Περσαῖος, Κιτιεύς, φιλόσοφος Στωικός· ἐπεκλήθη δὲ καὶ Δωρόθεος. ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου.

49 Athenaeus 4.54, 162b; Vol. 1. p. 366 Kaibel:
…Περσαίου τε τοῦ καλοῦ φιλοσόφου συμποτικοὺς διαλόγους συντεθέντας ἐκ τῶν Στίλπωνος καὶ Ζήνωνος ἀπομνημονευμάτων…

1. τοὺς καλοὺς (φιλοσόφου) συμπ. δ. Kaibel dubit. in app. crit.

50 Athenaeus 8.86, 607a-b; Vol. 3, p. 339 Kaibel:
…καίτοι Περσαίου τοῦ Κιτιέως ἐν τοῖς Συμποτικοῖς Ὑπομνήμασιν βοῶντος καὶ λέγοντος «περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν ποιεῖσθαι·… καὶ εἰ διαλεκτικοὶ συνελθόντες εἰς πότον περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ παρόντος καιροῦ, ⟨ὅτε⟩ καὶ ὁ καλὸς κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν…»

5. ⟨ὅτε⟩ add. Kaibel.

51 Athenaeus 6.58, 251 b-c; Vol. 2. p. 60sq. Kaibel:
Τίμων ὁ Φλιάσιος ἐν τῷ τρίτῳ τῶν σίλλων Ἀρίστωνά φησι τὸν Χῖον, Ζήνωνος δὲ τοῦ Κιτιέως γνώριμον, κόλακα γενέσθαι Περσαίου τοῦ φιλοσόφου, ὅτι ἦν ἑταῖρος Ἀντιγόνου τοῦ βασιλέως.

52 Diogenes Laertius 6.103-105:
Καὶ οὗτοι μὲν οἱ βίοι τῶν Κυνικῶν ἑκάστου. προσυπογράψομεν δὲ καὶ τὰ κοινῇ ἀρέσκοντα αὐτοῖς… ἀρέσκει οὖν αὐτοῖς τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον περιαιρεῖν, ἐμφερῶς Ἀρίστωνι τῷ Χίῳ, μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ… (104) Ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετ[ὴν ζῆν, ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ, ὁμοίως τοῖς Στωικοῖς· ἐπεὶ καὶ κοινωνία τις ταῖς δύο ταύταις αἱρέσεσίν ἐστιν. ὅθεν καὶ τὸν Κυνισμὸν εἰρήκασι σύντομον ἐπ' ἀρετὴν ὁδόν. καὶ οὕτως ἐβίω καὶ Ζήνων ὁ Κιτιεύς. …(105) τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγουσιν ὁμοίως Ἀρίστωνι τῷ Χίῳ.

53 Diogenes Laertius 7.160-163:
Ἀρίστων ὁ Χῖος ὁ Φάλανθος ἐπικαλούμενος Σειρήν… τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας μηδ' ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα· εἶναι γὰρ ὅμοιον τὸν σοφὸν τῷ ἀγαθῷ ὑποκριτῇ, ὃς ἄν τε

48 Σουίδας, ἐν λ. Περσαῖος, Vol. 4, p. 114 Adler:
Περσαῖος, ὁ Κιτιεύς, φιλόσοφος Στωικός. Ὀνομάστηκε δὲ καὶ Δωρόθεος. Ἔζησε τὰ χρόνια τοῦ Ἀντιγόνου τοῦ Γονατᾶ, γιοῦ τοῦ Δημητρίου, μαθητὴς καὶ ἀναθρεπτὸς τοῦ Ζήνωνα τοῦ φιλοσόφου.

49 Ἀθήναιος 4.54, 162b; Vol. 1. p. 366 Kaibel:
Στοὺς συμποσιακοὺς διαλόγους τοῦ ὄμορφου φιλοσόφου Περσαίου, ποὺ συνετέθησαν ἀπὸ τὰ ἀπομνημονεύματα τοῦ Στίλπωνος καὶ τοῦ Ζήνωνος…

50 Ἀθήναιος 8.86, 607 a-b; Vol. 3, p. 339 Kaibel:
…ἂν καὶ ὁ Περσαῖος ἀπὸ τὸ Κίτιο στὰ Συμποτικά του Ὑπομνήματα βοᾶ καὶ λέει: «Ἁρμόζει στὴν οἰνοποσία νὰ γίνεται μνεία γιὰ τὰ ἀφροδίσια·… καὶ ἂν διαλεκτικοὶ μαζεύονταν γιὰ ποτὸ θὰ διαλέγονταν γιὰ τοὺς συλλογισμούς, θὰ τοὺς θεωροῦσε κανεὶς παράξενους νὰ ἐνεργοῦν σὲ μιὰ τέτοια περίσταση, ποὺ κι' ὁ πιὸ ἐνάρετος ἄνθρωπος θὰ μεθοῦσε…»

51 Ἀθήναιος 6.58, 251 b-c; Vol. 2. p. 60sq. Kaibel:
Ὁ Τίμων ἀπὸ τὸν Φλιούντα στὸ τρίτο βιβλίο του τῶν σίλλων λέει ὅτι ὁ Ἀρίστων ὁ Χίος, ὁ φίλος τοῦ Ζήνωνος τοῦ Κιτιέως, κολάκευσε τὸν φιλόσοφο Περσαῖο, ὅτι ἦταν φίλος τοῦ βασιλιᾶ Ἀντιγόνου.

52 Διογένης Λαέρτιος 6.103-105:
Καὶ αὐτοὶ ἦταν οἱ βίοι τοῦ καθενὸς Κυνικοῦ. Θὰ προσθέσουμε ὅμως καὶ τὶς κοινὲς ἀνάμεσά τους διδασκαλίες… Τοὺς φαίνεται λοιπὸν ὀρθὸ τὴ λογικὴ καὶ τὴ φυσικὴ νὰ τὴν παραμερίζουν, ὅπως παρόμοια καὶ ὁ Ἀρίστων ὁ Χῖος, καὶ νὰ δίνουν τὴν προσοχή τους στὴν ἠθική… (104) Ἔχουν δὲ τὴν ἄποψη ὅτι σκοπὸς τοῦ βίου εἶναι νὰ ζεῖ κανεὶς κατ' ἀρετήν, ὅπως λέει ὁ Ἀντισθένης στὸν «Ἡρακλῆ» του, ἀκριβῶς ὅπως οἱ Στωικοί. Διότι ἀνάμεσα σ' αὐτὲς τὶς δυὸ σχολὲς ὑπάρχει κάτι κοινό. Γι' αὐτὸ καὶ τὸν κυνισμὸ τὸν ὀνόμασαν μιὰ σύντομη ὁδὸ πρὸς τὴν ἀρετή. Καὶ ἔτσι ἔζησε καὶ ὁ Ζήνων ὁ Κιτιεύς… (105) Αὐτά, ποὺ βρίσκονται μεταξὺ ἀρετῆς καὶ κακίας, τὰ λένε ἀδιάφορα, ὅπως ὁ Ἀρίστων ὁ Χῖος.

53 Διογένης Λαέρτιος 7.160-163:
Ὁ Ἀρίστων ὁ Χῖος, ὁ Φαλακρός, ὁ λεγόμενος Σειρήνα… εἶπε ὅτι σκοπὸς εἶναι νὰ ζοῦμε ἀδιάφορα γιὰ ὅσα βρίσκονται μεταξὺ ἀρετῆς καὶ κακίας καὶ νὰ μὴν ἀφήνουμε νὰ ὑπάρχει καμιὰ διαφορὰ ἀνάμεσα σ' αὐτὰ τὰ πράγματα, ἀλλὰ νὰ συμπεριφερόμαστε μὲ τὸν ἴδιο τρόπο ἀπέναντι σὲ

Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ ἑκάτερον ὑποκρίνεται προσηκόντως. τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνήρει,… (161) ἀρετὰς τ' οὔτε πολλὰς εἰσῆγεν, ὡς ὁ Ζήνων, οὔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην, ὡς οἱ Μεγαρικοί, ἀλλὰ κατὰ τὸ πρὸς τί πως ἔχειν. οὕτω δὲ φιλοσοφῶν καὶ ἐν Κυνοσάργει διαλεγόμενος ἴσχυσεν αἱρετιστὴς ἀκοῦσαι. Μιλτιάδης οὖν καὶ Δίφιλος Ἀριστώνειοι προσηγορεύοντο… (162) Παραβαλὼν δὲ Πολέμωνι, φησὶ Διοκλῆς ὁ Μάγνης, μετέθετο, Ζήνωνος ἀρρωστίᾳ μακρᾷ περιπεσόντος. μάλιστα δὲ προσεῖχε Στωικῷ δόγματι τῷ τὸν σοφὸν ἀδόξαστον εἶναι. πρὸς ὃ Περσαῖος ἐναντιούμενος διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν· καὶ οὕτως ἀπορούμενον διήλεγξεν. ἀπετείνετο δὲ πρὸς Ἀρκεσίλαον· ὅτε θεασάμενος ταῦρον τερατώδη μήτραν ἔχοντα, «οἶμαι,» ἔφη, «δέδοται Ἀρκεσιλάῳ ἐπιχείρημα κατὰ τῆς ἐναργείας.» (163) Πρὸς δὲ τὸν φάμενον Ἀκαδημαϊκὸν οὐδὲν καταλαμβάνειν, «ἆρ' οὐδὲ τὸν πλησίον σου καθήμενον ὁρᾷς;» εἶπεν· ἀρνησαμένου δέ· «τίς σ' ἐτύφλωσεν, ἔφη, τίς ἀφείλετο λαμπάδος αὐγάς;»

2. τι pro τὰ BPLD 5. ἑκατέρων B 13. ἀδόξαστον Scaliger et versio Aldobrandini: δοξαστὸν codd. 16 ὅτε ed. princ.: ὅτι P^{pc}] ἵνα BL, ὅτι in litura P^3 18. Ἀκαδημικὸν BP ‖ μηδὲν BPL I 20. σ' ἐκτύφλ. von Arnim

54 Diogenes Laertius 4.32 sq.:

Ἐφ́κει δὴ (sc. ὁ Ἀρκεσίλαος) θαυμάζειν καὶ τὸν Πλάτωνα καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῦ. (33) ἀλλὰ καὶ τὸν Πύρρωνα κατά τινας ἐζηλώκει καὶ τῆς διαλεκτικῆς εἶχετο καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων, ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος·

πρόσθε Πλάτων, ὄπισθεν Πύρρων, μέσσος Διόδωρος.

5 ὄπισθεν Casaubon: ὄπι(σ)θεν δὲ codd. c.f. Il. Z 181 «πρόσθε λέων, ὄπισθεν δὲ δράκων, μέσση δὲ χίμαιρα».

55 Sextus Empiricus, Pyrrhoniae Hypotyposes 1.234:

Εἰ δὲ δεῖ καὶ τοῖς περὶ αὐτοῦ (sc. τοῦ Ἀρκεσιλάου) λεγομένοις πιστεύειν, φασὶν ὅτι κατὰ μὲν τὸ πρόχειρον Πυρρώνειος ἐφαίνετο εἶναι, κατὰ δὲ τὴν ἀλήθειαν δογματικὸς ἦν· καὶ ἐπεὶ τῶν ἑταίρων ἀπόπειραν ἐλάμβανε διὰ τῆς ἀπορητικῆς, εἰ εὐφυῶς ἔχουσι πρὸς τὴν ἀνάληψιν τῶν Πλατωνικῶν δογμάτων, δόξαι αὐτὸν ἀπορητικὸν εἶναι, τοῖς μέντοι γε εὐφυέσι τῶν ἑταίρων τὰ Πλάτωνος παρεγχειρεῖν, ἔνθεν καὶ τὸν Ἀρίστωνα εἰπεῖν περὶ αὐτοῦ· πρόσθε Πλάτων, ὄπισθεν Πύρρων, μέσσος Διόδωρος, διὰ τὸ

ὅλα. Γιατὶ ὁ σοφὸς μοιάζει μὲ τὸν καλὸν ἠθοποιό, ποὺ ὅποιο ρόλο ἀναλάβει, εἴτε τοῦ Θερσίτη εἴτε τοῦ Ἀγαμέμνονα, καὶ τοὺς δύο τοὺς παίζει ὅπως ἁρμόζει στὸν καθένα. Ὁ Ἀρίστων ἀρνιόταν ὅτι ἔχει ὁποιαδήποτε θέση ἡ φυσικὴ καὶ ἡ λογική,… (161) Δὲν πρότεινε, ὅπως ὁ Ζήνων, πολλὲς ἀρετές, οὔτε μία ὀνομαζόμενη μὲ πολλὰ ὀνόματα, ὅπως οἱ Μεγαρικοί, ἀλλὰ μᾶλλον θεωροῦσε τὶς ἀρετὲς ὡς σχετιζόμενες μεταξύ τους μὲ ὁρισμένους τρόπους. Ἔτσι φιλοσοφώντας μὲ τὶς διαλέξεις καὶ τοὺς διαλόγους του στὸ Κυνοσάργες ἀπέκτησε φήμη καὶ θεωρήθηκε ἱδρυτὴς σχολῆς. Ὁπωσδήποτε ὁ Μιλτιάδης καὶ ὁ Δίφιλος χαρακτηρίστηκαν Ἀριστώνειοι… (162) Σύμφωνα μὲ ὅσα λέει ὁ Διοκλῆς ὁ Μάγνης, ἄλλαξε τὶς ἀπόψεις του (ὁ Ἀρίστων), ὅταν συνάντησε τὸν Πολέμωνα, ἐνῶ ὁ Ζήνων εἶχε πέσει σὲ μακρὰ ἀρρώστεια. Περισσότερο ἀπ᾽ ὅλα ἔστρεψε τὴν προσοχή του στὴ στωικὴ διδασκαλία, ὅτι ὁ σοφὸς δὲν εἶναι σὲ θέση νὰ ἔχει γνῶμες. Ἐνάντια σ᾽ αὐτὴ στράφηκε ὁ Περσαῖος ποὺ ἀπὸ δύο διδύμους ἀδελφοὺς τὸν ἕνα παρακίνησε νὰ δώσει στὸν Ἀρίστωνα μιὰ παρακαταθήκη, κι᾽ ἔστειλε ὕστερα τὸν ἄλλον νὰ τὴν παραλάβει. Μ᾽ αὐτὸ τὸν τρόπο τὸν παραπλάνησε καὶ ἀναίρεσε τὸ ἐπιχείρημά του. Βρισκόταν διαρκῶς σὲ ἀντιπαράθεση πρὸς τὸν Ἀρκεσίλαο. Ὅταν μιὰ φορὰ εἶδε ἕνα τεράστιο ταῦρο νὰ ἔχει μήτρα, φώναξε: «νομίζω, πὼς στὸν Ἀρκεσίλαο δόθηκε ἕνα ἐπιχείρημα ἐνάντια στὴν ἐνάργεια (τῆς γνώσης)». (163) Ὅταν ἕνας Ἀκαδημαϊκὸς ἰσχυρίστηκε, ὅτι τίποτε δὲν καταλαβαίνει, τοῦ εἶπε «ὥστε δὲν βλέπεις κι᾽ αὐτὸν ποὺ κάθεται δίπλα σου;» Καὶ καθὼς ὁ ἄλλος ἀρνήθηκε, τοῦ ἀντεῖπε: «ποιὸς σ᾽ ἐτύφλωσε, ποιὸς σοῦ πῆρε τῶν ματιῶν τὸ φῶς;»

54 Διογένης Λαέρτιος 4.32 sq.:
Θαύμαζε προφανῶς (ὁ Ἀρκεσίλαος) καὶ τὸν Πλάτωνα καὶ εἶχε στὴν κατοχή του τὰ βιβλία του. (33) Ἀλλὰ καὶ τὸν Πύρρωνα, σύμφωνα μὲ ὁρισμένους, ζητοῦσε νὰ μιμηθεῖ καὶ κατεῖχε τὴ διαλεκτικὴ καὶ ἦταν ἐξοικειωμένος μὲ τὰ Ἐρετρικὰ ἐπιχειρήματα, γι᾽ αὐτὸ καὶ ἔλεγε γι᾽ αὐτὸν ὁ Ἀρίστων:
μπροστὰ ὁ Πλάτων, πίσω ὁ Πύρρων, στὴ μέση ὁ Διόδωρος.

55 Σέξτος ὁ Ἐμπειρικός, Πυρρώνειοι ὑποτυπώσεις 1.234:
Ἂν δὲ πρέπει νὰ πιστεύει κανεὶς καὶ σ᾽ αὐτά, ποὺ λέγονται γι᾽ αὐτὸν (τὸν Ἀρκεσίλαο), λένε ὅτι ἐκ πρώτης ὄψεως ἔδινε τὴν ἐντύπωση ὅτι ἦταν Πυρρώνειος, στ᾽ ἀλήθεια ὅμως ἦταν δογματικός. Γιατὶ τοὺς ἑταίρους τῆς σχολῆς συνήθιζε νὰ τοὺς δοκιμάζει μὲ τὴν ἀπορητική, ἂν εἶχαν τὴν εὐφυΐα νὰ δεχθοῦν τὶς πλατωνικὲς θεωρίες, στοὺς εὐφυεῖς ὅμως ἑταίρους μετέδιδε βέβαια τὶς διδαχὲς τοῦ Πλάτωνος. Ἐξ οὗ καὶ ὁ Ἀρίστων εἶπε γι᾽ αὐτόν: «Πλάτων ἀπὸ μπροστά, Πύρρων ἀπὸ πίσω, Διόδωρος στὴ

προσχρῆσθαι τῇ διαλεκτικῇ τῇ κατὰ τὸν Διόδωρον, εἶναι δὲ ἄντικρυς Πλατωνικόν.

3. ἐπεί] ἐπὶ LEAB | ἑταίρων MT (soldatium), ἑτέρων LEAB-item | 6. παρεγχειρίζειν Bekker: dubit.

56 Strabo, Geographica 1.2, 2; C 15:

Πρότερον δ' ἐπισκεπτέον Ἐρατοσθένη, …οὔτ' ἐπὶ τοσοῦτον πιστός, ἐφ' ὅσον παρεδέξαντό τινες, καίπερ πλείστοις ἐντυχών, ὡς εἴρηκεν αὐτός, ἀγαθοῖς ἀνδράσιν. «ἐγένοντο γάρ,» φησίν, «ὡς οὐδέποτε, κατὰ τοῦτον τὸν καιρὸν ὑφ' ἕνα περίβολον καὶ μίαν πόλιν οἱ (καὶ) κατ' Ἀρίστωνα καὶ Ἀρκεσίλαον ἀνθήσαντες φιλόσοφοι» οὐχ ἱκανὸν δ' οἶμαι τοῦτο, ἀλλὰ τὸ κρίνειν καλῶς, οἷς μᾶλλον προσιτέον. ὁ δὲ Ἀρκεσίλαον καὶ Ἀρίστωνα τῶν καθ' αὑτὸν ἀνθησάντων κορυφαίους τίθησιν, Ἀπελλῆς τε αὐτῷ πολύς ἐστι καὶ Βίων,. ἐν αὐταῖς γὰρ ταῖς ἀποφάσεσι ταύταις ἱκανὴν ἀσθένειαν ἐμφαίνει τῆς ἑαυτοῦ γνώμης· ᾗ τοῦ Ζήνωνος τοῦ Κιτιέως γνώριμος γενόμενος Ἀθήνησι τῶν μὲν ἐκεῖνον διαδεξαμένων οὐδενὸς μέμνηται, τοὺς δ' ἐκείνῳ διενεχθέντας καὶ ὧν διαδοχὴ σώζεται, τούτους ἀνθῆσαί φησι κατὰ τὸν καιρὸν ἐκεῖνον.

10. Scil. Cleanthem nominare debuit, secundum Strabonem 11. διενεχθέντες: eodem vocabulo utitur Diog. Laert. de Aristone, Herillo, Dionysio, v. Arnim

57 Diogenes Laertius 7.165:

Ἥριλλος δ' ὁ Χαλκηδόνιος τέλος εἶπε τὴν ἐπιστήμην, ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντ' ἀναφέροντα πρὸς τὸ μετ' ἐπιστήμης ζῆν καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον. εἶναι δὲ τὴν ἐπιστήμην ἕξιν ἐν φαντασιῶν προσδέξει ἀνυπόπτωτον ὑπὸ λόγου.. διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα· τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν… ἔστι δ' αὐτοῦ τὰ βιβλία ὀλιγόστιχα μέν, δυνάμεως δὲ μεστὰ καὶ περιέχοντα ἀντιρρήσεις πρὸς Ζήνωνα.

1. Χαλκηδόνιος BFP. restit. von der Mühll., approb. Gigante, Hülser: Καρχηδόνιος ed. princ. Long 3-4 προσδέξει ἀνυπόπτωτον Hübner ex. DL VII 47: πρὸς δεξιὰν ὑπόπτωτον BFP προσδέξει ἀνυποκρίτῳ Suda 4. λόγου ed. princ., λόγων BFP 6. αὐτοῦ τὰ βιβλία (hoc ord.) PL

58 Diogenes Laertius 7.177:

Τούτου (sc. τοῦ Κλεάνθους), καθάπερ προειρήκαμεν, ἤκουσε μετὰ Ζήνωνα καὶ Σφαῖρος ὁ Βοσποριανός, ὃς προκοπὴν ἱκανὴν περιποιησάμενος λόγων εἰς Ἀλεξάνδρειαν ἀπῄει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα.

3. ἐν λόγῳ B D, λόγῳ (ἐν eras.) P, λόγων L ‖ ἀπῆρε B (ἡ B^2) P

μέση», γιατὶ χρησιμοποιοῦσε τὴ διαλεκτικὴ τοῦ Διοδώρου, ἦταν ὅμως ἐξ ὁλοκλήρου Πλατωνικός.

56 Στράβων, Γεωγραφικὰ 1.2, 2; C 15:
Πρῶτα πρέπει νὰ ἐξετάσουμε κριτικὰ τὸν Ἐρατοσθένη, …ποὺ δὲν εἶναι τόσο ἀξιόπιστος, ὅπως μερικοὶ ὑπόθεσαν, παρ' ὅλον ὅτι, σύμφωνα μὲ ὅσα ἔχει πεῖ ὁ ἴδιος, ἦρθε σ' ἐπαφὴ μὲ πολλοὺς σημαντικοὺς ἄνδρες. «Γιατὶ ἐκεῖνο τὸν καιρό», λέει, «ζοῦσαν ὅπως ποτὲ ἄλλοτε στὴν ἴδια περιοχὴ καὶ στὴν μιὰ καὶ μοναδικὴ πόλη μαζὶ οἱ φιλόσοφοι ποὺ ἄκμασαν, ὅπως ὁ Ἀρίστων καὶ ὁ Ἀρκεσίλαος». Δὲν μοῦ φαίνεται ὅμως ἀρκετὸ αὐτό, ἀλλὰ τὸ νὰ κρίνει κανεὶς σωστὰ σὲ ποιοὺς φιλοσόφους νὰ πηγαίνει. Ὁ Ἐρατοσθένης ὅμως τοποθετεῖ ὡς κορυφαίους ἀνάμεσα σ' ἐκείνους ποὺ ἄκμασαν τὸν Ἀρκεσίλαο καὶ τὸν Ἀρίστωνα. Πολλὴ ἀξία ἐπίσης ἀπέδιδε στὸν Ἀπελλὴ καὶ τὸν Βίωνα… Σ' αὐτὲς τὶς γνωματεύσεις του προδίδει ἀρκετὴ ἀδυναμία κρίσης. Παρ' ὅλον ὅτι ἄκουσε καὶ γνώρισε ὁ ἴδιος τὸν Ζήνωνα τὸν Κιτιέα στὴν Ἀθήνα, δὲν μνημονεύει κανένα ἀπὸ ἐκείνους ποὺ τὸν διαδέχθηκαν, ἀλλὰ ἀναφέρεται σ' αὐτοὺς ποὺ διαφώνησαν μαζί του καὶ δὲν μπόρεσαν νὰ ἱδρύσουν καμιὰ σχολή, ποὺ νὰ διασώζεται, ὅτι ἐκεῖνο τὸν καιρὸ ἄκμασαν.

57 Διογένης Λαέρτιος 7.165:
Ὁ Ἥριλλος ὁ Χαλκηδόνιος εἶπε ὅτι τελικὸς σκοπὸς εἶναι ἡ γνώση, δηλ. νὰ ζεῖ κανεὶς ἔτσι, ὥστε νὰ ζεῖ σύμφωνα μὲ τὸ πνεῦμα τῆς γνώσης καὶ νὰ μὴν ἀφήνεται νὰ πλανᾶται ἀπὸ τὴν ἄγνοια. Ἡ γνώση ὅμως εἶναι μιὰ ἕξη στὴν ἀποδοχὴ παραστάσεων, ποὺ δὲν καταπίπτουν ἀπὸ τὸν λόγο… Ἐπὶ πλέον ὑπάρχει μιὰ διαφορὰ μεταξὺ τοῦ τελικοῦ σκοποῦ καὶ τῶν μέσων πρὸς αὐτὸν τὸν σκοπό. Γιατὶ τὰ τελευταῖα τὰ στοχάζονται καὶ οἱ μὴ σοφοί, τὸν πρῶτο ὅμως μόνο ὁ σοφός… Τὰ συγγράμματά του εἶναι ὀλιγόστιχα, εἶναι ὅμως μεστὰ ἀπὸ δύναμη καὶ περιέχουν ἀνασκευὲς τῶν ἐπιχειρημάτων τοῦ Ζήνωνος.

58 Διογένης Λαέρτιος 7.177:
Αὐτὸν (δηλ. τὸν Κλεάνθη), ὅπως ἔχουμε πεῖ προηγουμένως, μετὰ τὶς σπουδές του στὸν Ζήνωνα, τὸν ἄκουσε καὶ ὁ Σφαῖρος ὁ Βοσποριανός, ποὺ ἀφοῦ προχώρησε στὴ διδασκαλία ἀρκετά, ἀναχώρησε στὴν Ἀλεξάνδρεια πρὸς τὸν Πτολεμαῖο τὸν Φιλοπάτορα.

59 Plutarchus, Vitae Agis et Cleomenis 23, (2), 3; 805d:
Ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν.

60 Cicero, Tusculanae disputationes 4.24, 53:
…superiores definitiones (sc. fortitudinis) erant Sphaeri, hominis in primis bene definientis, ut putant Stoici;…

61 Athenaeus 8.50, 354e; Vol. 2 p. 276 Kaibel:
…Σφαῖρον τὸν συσχολάσαντα μὲν Χρυσίππῳ παρὰ Κλεάνθει,…

62 Diogenes Laertius 9.15:
Πλεῖστοί τέ εἰσιν ὅσοι ἐξήγηνται αὐτοῦ (sc. τοῦ Ἡρακλείτου) τὸ σύγγραμμα· καὶ γὰρ… Κλεάνθης τε (ὁ ποντικὸς) καὶ Σφαῖρος ὁ Στωικός…

2. (ὁ ποντικὸς) secl. Hübner post Ambrosium

63 Diogenes Laertius 7.168-176:
Κλεάνθης Φανίου Ἄσσιος… ἀφικόμενος δ' εἰς Ἀθήνας τέσσαρας ἔχων δραχμάς, καθά φασί τινες, καὶ Ζήνωνι παραβαλὼν ἐφιλοσόφησε γενναιότατα καὶ ἐπὶ τῶν αὐτῶν ἔμεινε δογμάτων… (170) ἦν δὴ πονικὸς μέν, ἀφύσικος δὲ καὶ βραδὺς ὑπερβαλλόντως· … Καὶ σκωπτόμενος δ' ὑπὸ τῶν συμμαθητῶν ἠνέσχετο καὶ ὄνος ἀκούων προσεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον. … (172) φησὶ δ' ὁ Ἑκάτων ἐν ταῖς Χρείαις, εὐμόρφου μειρακίου εἰπόντος, «εἰ ὁ εἰς τὴν γαστέρα τύπτων γαστρίζει, καὶ ὁ εἰς τοὺς μηροὺς τύπτων μηρίζει,» ἔφη, «σὺ μὲν τοὺς διαμηρισμοὺς ἔχε, μειράκιον· αἱ δ' ἀνάλογοι φωναὶ τὰ ἀνάλογα οὐ πάντως σημαίνουσι πράγματα.» μειρακίῳ ποτὲ διαλεγόμενος ἐπύθετο εἰ αἰσθάνεται· τοῦ δ' ἐπινεύσαντος, «διὰ τί οὖν», εἶπεν, «ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνῃ;»… (174) Τοιοῦτος δ' ὢν ἐξίσχυσε, πολλῶν καὶ ἄλλων ὄντων ἀξιολόγων Ζήνωνος μαθητῶν, αὐτὸς διαδέξασθαι τὴν σχολήν. …(176) Καὶ τελευτᾷ τόνδε τὸν τρόπον· διῴδησεν αὐτῷ τὸ οὖλον ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσχετο τροφῆς. καί πως ἔσχε καλῶς ὥστε τοὺς ἰατροὺς αὐτῷ τὰ συνήθη συγχωρεῖν· τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προωδοποιῆσθαι καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι ταὐτὰ Ζήνωνι, καθά φασί τινες (ὀγδοήκοντα) ἔτη βιώσαντα καὶ ἀκούσαντα Ζήνωνος ἔτη ἐννεακαίδεκα.

3. αὐτῶν, αὐτοῦ pos. Gigante ‖ δὲ (pro δὴ) B 5. ἠνείχετο PL

59 Πλούταρχος, Βίοι Ἄγιδος καὶ Κλεομένους 23, (2), 3; 805d:
Ὁ δὲ Σφαῖρος ἦταν ἀνάμεσα στοὺς πρώτους (σημαντικότερους) μαθητὲς τοῦ Ζήνωνος τοῦ Κιτιέως.

60 Cicero, Tuscul. disput. 4.24, 53:
…Οἱ ἀνωτέρω ὁρισμοὶ (δηλ. τῆς ἀνδρείας) προέρχονται ἀπὸ τὸν Σφαῖρο, ἄνδρα, ποὺ κατὰ τὴν ἄποψη τῶν Στωικῶν, δίνει ὁρισμοὺς κατὰ τὸν καλύτερο τρόπο:…

61 Ἀθήναιος 8.50, 354e; Vol. 2, p. 276 Kaibel:
…Ὁ Σφαῖρος, ποὺ μαζὶ μὲ τὸν Χρύσιππο σπούδασαν κοντὰ στὸν Κλεάνθη,…

62 Διογένης Λαέρτιος 9.15:
Πλεῖστοι εἶναι ὅσοι ἔχουν ἐξηγήσει τὸ σύγγραμμά του (ἐν. τοῦ Ἡρακλείτου). Ἀνάμεσά τους… κι' ὁ Κλεάνθης (ἀπὸ τὸν Πόντο) καὶ ὁ Σφαῖρος ὁ Στωικός…

63 Διογένης Λαέρτιος 7.168-176:
Ὁ Ζήνων λέει, ὅτι τὸ σπέρμα εἶναι τὸ πνεῦμα (ἡ πνοὴ) ποὺ ἀφήνει ὁ ἄνθρωπος μαζὶ μὲ ὑγρό, μέρος καὶ ἀπόσπασμα τῆς ψυχῆς καὶ τοῦ σπέρματος τῶν προγόνων, κράμα καὶ μίγμα ποὺ συστάθηκε ἀπὸ τὰ μέρη τῆς ψυχῆς. Γιατὶ ἔχοντας τὶς ἴδιες ἀναλογίες μὲ τὸ ὅλο τοῦτο, ὅταν ἀφεθεῖ μέσα στὴ μήτρα, ἀφοῦ συλληφθεῖ ἀπὸ ἕνα ἄλλο πνεῦμα (πνοή), ποὺ εἶναι μέρος τῆς ψυχῆς τῆς γυναίκας καί, ἀφοῦ συμφυεῖ μαζί του καὶ κρυβεῖ, φυτρώνει κινούμενο κι᾽ ἀναζωπυρωνόμενο ἀπὸ ἐκεῖνο, προσλαμβάνοντας διαρκῶς ὑγρὸ καὶ αὐξάνοντας ἀπὸ τὸν ἑαυτό του.

131α Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15.20, 2-3 = Arius Didymus, Fragm. phys. 39, p. 470 sq. Diels:
Ὅπου ὁ Κλεάνθης παραθέτοντας τὶς διδασκαλίες τοῦ Ζήνωνος γιὰ τὴν ψυχὴ σὲ σύγκριση πρὸς τοὺς ἄλλους φυσικοὺς φιλοσόφους, ἰσχυρίζεται ὅτι ἡ ψυχὴ εἶναι μιὰ ἀναθυμίαση προικισμένη μὲ αἴσθηση, ὅπως λέει ὁ Ἡράκλειτος. Γιατὶ θέλοντας νὰ ἀποσαφηνίσει, ὅτι οἱ ψυχὲς καθὼς ἀνα-

τὰς τοῖς ποταμοῖς, λέγων οὕτως· «Ποταμοῖσι τοῖσιν αὐτοῖσιν ἐμβαίνουσιν ἕτερα καὶ ἕτερα ὕδατα ἐπιρρεῖ· καὶ ψυχαὶ δὲ ἀπὸ τῶν ὑγρῶν ἀναθυμιῶνται.» (3) ἀναθυμίασιν μὲν οὖν ὁμοίως τῷ Ἡρακλείτῳ τὴν ψυχὴν ἀποφαίνει Ζήνων, αἰσθητικὴν δὲ αὐτὴν εἶναι διὰ τοῦτο λέγει ὅτι τυποῦσθαί τε δύναται τὸ μέρος τὸ ἡγούμενον αὐτῆς ἀπὸ τῶν ὄντων καὶ ὑπαρχόντων διὰ τῶν αἰσθητηρίων καὶ παραδέχεσθαι τὰς τυπώσεις. ταῦτα γὰρ ἴδια ψυχῆς ἐστι.

3. αἰσθητικὴν Wellmann ap. Diels: αἴσθησιν ἢ codd. 8 τε Diels: γε codd. 9. τὸ μέρος Vigerus in marg: τὸ μέγεθος τὸ μέρος codd.

131β Eusebius, Praeparatio evangelica 15.21.3 (PG. 21 col. 1352):
Ζήνωνι μὲν γὰρ καὶ Κλεάνθει νεμεσήσειέ τις ἂν δικαίως, οὕτω σφόδρα ὑβριστικῶς περὶ αὐτῆς [τῆς ψυχῆς] διαλεχθεῖσι καὶ ταὐτὸν ἄμφω τοῦ στερεοῦ σώματος εἶναι τὴν ψυχὴν ἀναθυμίασιν φήσασι.

3 αἵματος coni. Stein Psychol. d. Stoa I p. 107; sed de sanguine non dixisset: τοῦ στερεοῦ v. Arnim

132 Galenus, De placitis Hippocratis 2.8 (Kühn vol. 5. p. 283):
εἰ δέ γε ἔποιτο [Διογένης ὁ Βαβυλώνιος] Κλεάνθει καὶ Χρυσίππῳ καὶ Ζήνωνι, τρέφεσθαι μὲν ἐξ αἵματος φήσας τὴν ψυχήν, οὐσίαν δ' αὐτῆς ὑπάρχειν τὸ πνεῦμα, πῶς ἔτι ταὐτὸν ἔσται τὸ τρέφον τε καὶ κινοῦν, εἴπερ τρέφει μὲν τὸ αἷμα, κινεῖ δὲ τὸ πνεῦμα;

132α Rufus Ephesius, de part hom. p. 44 ed. Clinch:
Θερμασίαν δὲ καὶ πνεῦμα Ζήνων τὸ αὐτὸ εἶναί φησιν.

133 Tertullianus, De anima 5.1-6:
Accerserit Eubulum aliquem et Critolaum et Xenocraten et isto in loco amicum Platonis Aristotelen. Fortassean exstruentur magis ad auferendam animae corpulentiam, si non alios e contrario inspexerint, et quidem plures, corpus animae vindicantes. (2) Nec illos dico solos qui eam de manifestis corporalibus effingunt,. sed etiam Stoicos allego, qui spiritum praedicantes animam paene nobiscum, qua proxima inter se flatus et spiritus, tamen corpus animam facile persuadebunt. (3) Denique Zeno consitum spiritum definiens animam hoc modo instruit.

σαίνουν ἀναθυμιάσεις γίνονται νοήμονες, τὶς παρομοίασε μὲ ποταμούς, λέγοντας τὰ ἀκόλουθα: «Σ' αὐτούς, ποὺ μπαίνουν στὰ ἴδια ποτάμια ἄλλα κι' ἄλλα νερὰ συρρέουν· καὶ οἱ ψυχὲς παίρνουν τὶς ἀναθυμιάσεις των ἀπὸ τὰ ὑγρά.» (3) Ἀναθυμίαση λοιπόν, ὅμοια μὲ τὸν Ἡράκλειτο, χαρακτηρίζει τὴν ψυχὴ ὁ Ζήνων, καὶ λέει ὅτι ἔχει τὴ δύναμη νὰ αἰσθάνεται γι' αὐτὸ τὸν λόγο, διότι τὸ ἡγεμονικὸ (κεντρικό) της μέρος δύναται νὰ ἐντυπώνεται ἀπ' ὅσα εἶναι καὶ ὑπάρχουν διὰ μέσου τῶν αἰσθητηρίων ὀργάνων καὶ νὰ ἀποδέχεται τὶς ἐντυπώσεις αὐτές. Διότι αὐτὰ εἶναι ἰδιαιτερότητες τῆς ψυχῆς.

131β Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15. 21. 3:
Μὲ τὸν Ζήνωνα καὶ τὸν Κλεάνθη θὰ μποροῦσε νὰ ἀγανακτήσει κανεὶς δικαίως, γιατὶ διαλέχθηκαν μὲ τόση πολλὴν αὐθάδεια γι' αὐτὴν (τὴν ψυχὴ) καὶ ἔλεγαν καὶ οἱ δυό, ὅτι ἡ ψυχὴ εἶναι τὸ ἴδιο μὲ τὴν ἐξάτμιση τοῦ στερεοῦ σώματος.

132 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 2.8:
Ἂν δὲν ἀκολουθοῦσε (ὁ Διογένης ὁ Βαβυλώνιος) τὸν Κλεάνθη καὶ τὸν Χρύσιππο καὶ τὸν Ζήνωνα, ποὺ εἶπαν ὅτι ἡ ψυχὴ τρέφεται ἀπὸ τὸ αἷμα καὶ ἡ οὐσία της εἶναι ἡ πνοή, πῶς θὰ εἶναι τὸ ἴδιο αὐτὸ ποὺ τρέφει καὶ αὐτὸ ποὺ κινεῖ, ἂν βέβαια τρέφει μὲν τὸ αἷμα, κινεῖ ὅμως ἡ πνοή;

132α Ροῦφος Ἐφέσιος, Περὶ ὀνομασίας τῶν ἀνθρώπου μορίων 44:
Ἡ θερμότητα καὶ ἡ πνοὴ ὁ Ζήνων λέει ὅτι εἶναι τὸ ἴδιο.

133 Tertullianus, De anima 5.1-6:
Αὐτὸς (ἐνν. ὁ Πλάτων) θὰ μποροῦσε νὰ καλέσει σὲ βοήθεια τὸν Εὔβουλο, τὸν Κριτόλαο καὶ τὸν Ξενοκράτη καὶ μάλιστα τὸν Ἀριστοτέλη, ποὺ στὸ σημεῖο αὐτὸ εἶναι φίλος τοῦ Πλάτωνος. Θὰ ἐξεγείρονταν ὅλοι μαζὶ πρὸ πάντων, γιὰ νὰ παραμερίσουν τὴ σωματικότητα τῆς ψυχῆς, ἂν αὐτοὶ δὲν παρατηροῦσαν τοὺς ἄλλους στὴν ἀντίθετη πλευρά, ποὺ εἶναι σίγουρα πολυπληθέστεροι καὶ ὑπερασπίζονται τὸ σῶμα τῆς ψυχῆς. (2) Δὲν ὀνομάζω ἐκείνους μόνο, ποὺ θέλουν νὰ γνωρίζουν, ὅτι ἡ ψυχὴ σχηματίζεται ἀπὸ φανερὰ σώματα…, ἀλλὰ ἀναφέρω καὶ τοὺς Στωικούς, ποὺ δηλώνουν τὴν ψυχὴ ὡς ἕνα πνεῦμα (spiritus) –σχεδὸν ὅπως ἐμεῖς, στοὺς ὁποίους ἡ πνοὴ (flatus) καὶ τὸ πνεῦμα (spiritus) βρίσκονται σὲ στενὴ συγγένεια– καὶ ποὺ παρ' ὅλα αὐτὰ εὔκολα μποροῦν νὰ πείσουν, ὅτι ἡ ψυχὴ εἶναι σῶμα. (3) Τέλος ὁ Ζήνων ὅριζε τὴν ψυχὴ ὡς τὴν ἔμφυτη μέσα μας πνοὴ καὶ ἔφερνε τὰ ἀκόλουθα ἐπιχειρήματα: «Αὐτό, ἔλεγε, ποὺ μὲ

«Quo» inquit, «digresso animal emoritur, corpus est; consito autem spiritu digresso animal emoritur, ergo consitus spiritus corpus est; ergo corpus est anima.» (4) Vult et Cleanthes non solum corporis lineamentis, sed et animae notis similitudinem parentibus in filiis respondere, de speculo scilicet morum et ingeniorum et adfectuum, corporis autem similitudinem et dissimilitudinem capere et animam, itaque corpus similitudini vel dissimilitudini obnoxium. (5) Item corporalium et incorporalium passiones inter se non communicare; porro et animam compati corpori, cui laeso ictibus vulneribus ulceribus condolescit, et corpus animae, cui afflictae cura angore amore coaegrescit per detrimentum socii vigoris, cuius pudorem et pavorem rubore atque pallore testetur. Igitur anima corpus ex corporalium passionum communione. (6) Sed et Chrysippus manum ei porrigit constituens corporalia ab incorporalibus derelinqui omnino non posse, quia nec contingantur ab eis (unde et Lucretius (I 305): tangere enim et tangi nisi corpus nulla potest res), derelicto autem corpore ab anima affici morte. Igitur corpus anima, quae nisi corporalis corpus non derelinquet.

9. *corpus*] anima Gomperz-item 1. 12 priore loco 9. post est[1] inser: ⟨*consitus autem spiritus anima est*:⟩ Ursinus «cons. au. sp. corpus est;» Gomperz 11. *filiis*: Iunius: *filios* B Gel. | 17. *coagrescit* Latinius: *cohaerescit*: B Gel *socii* Gel.: *societ* B: *scilicet* Ursinus: *saucii* Hartel 18. *communione*] *communicatione* v. Arnim

133α Scholia in Platonis Alcibiadem I, p. 121 E:
[δὶς ἑπτὰ ἐτῶν] τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόρειός φασιν.

134 Nemesius, De natura hominis 2, p. 76-81:
Ἐπειδὴ δὲ καὶ Κλεάνθους τοῦ Στωικοῦ καὶ Χρυσίππου φέρονται λόγοι τινὲς οὐκ εὐκαταφρόνητοι, ἐκθετέον καὶ τούτων τὰς λύσεις, ὡς ἔλυσαν οἱ ἀπὸ Πλάτωνος, ὁ Κλεάνθης τοιόνδε πλέκει συλλογισμόν. «οὐ μόνον», φησίν, «ὅμοιοι τοῖς γονεῦσι γινόμεθα κατὰ τὸ σῶμα, ἀλλὰ (77) καὶ κατὰ τὴν ψυχὴν τοῖς πάθεσι, τοῖς ἤθεσι, ταῖς διαθέσεσι· σώματος δὲ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, οὐχὶ δὲ ἀσωμάτου· σῶμα ἄρα ἡ ψυχή.» ἀλλά… (78) ἔτι φησίν· «οὐδὲν ἀσώματος συμπάσχει σώματι οὐδὲ ἀσωμάτῳ σῶμα, ἀλλὰ σῶμα σώματι· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι νοσοῦντι (79) καὶ τεμνομένῳ, καὶ τὸ σῶμα τῇ ψυχῇ· αἰσχυνομένης γοῦν ἐρυθρὸν γίνεται καὶ φοβουμένης ὠχρόν· σῶμα ἄρα ἡ ψυχή.»… (81) Χρύσιππος δέ φησιν (ὅτι) «ὁ θάνατός ἐστιν χωρισμὸς ψυχῆς ἀπὸ σώματος· οὐδὲν δὲ ἀσώμα-

τὴν ἀπομάκρυνσή του τὸ ζῶο πεθαίνει, εἶναι ἕνα σῶμα· τὸ ἔμφυτο πνεῦμα (πνοὴ) εἶναι ὡστόσο αὐτό, μὲ τοῦ ὁποίου τὴν ἀπομάκρυνση τὸ ζῶο πεθαίνει· ἄρα τὸ ἔμφυτο πνεῦμα εἶναι ἕνα σῶμα· ἄρα ἡ ψυχὴ εἶναι ἕνα σῶμα.» (4) Καὶ ὁ Κλεάνθης ἤθελε στὰ παιδιὰ νὰ μὴν ὑπάρχει μόνο μιὰ ὁμοιότητα στὴ μορφὴ τοῦ σώματος, ποὺ ν' ἀντιστοιχεῖ στοὺς γονεῖς, ἀλλὰ καὶ στὰ γνωρίσματα τῆς ψυχῆς, δηλ. ἐξ αἰτίας μιᾶς ἀπεικόνισης τῶν συνηθειῶν, τοῦ ἤθους καὶ τῶν παθῶν, ὥστε καὶ ἡ ψυχὴ νὰ προσλαμβάνει τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα ἑνὸς σώματος καὶ ἐξ αὐτοῦ αὐτό, ποὺ ὑπόκειται στὴν ὁμοιότητα καὶ ἀνομοιότητα, νὰ εἶναι ἕνα σῶμα. (5) Περαιτέρω τὰ πάθη τῶν σωματικῶν καὶ τῶν ἀσώματων πραγμάτων δὲν θὰ εἶχαν καμιὰν ἀλληλεπίδραση· ὡστόσο ὑποφέρει ἡ ψυχὴ μαζὶ μὲ τὸ σῶμα, ἐπειδὴ αἰσθάνεται μαζί του πόνο, ὅταν αὐτὸ πληγώνεται μὲ τσιμπήματα, πληγὲς καὶ ἐξογκώματα, ὅπως καὶ τὸ σῶμα μαζὶ μὲ τὴν ψυχή, ἀφοῦ ἀρρωσταίνει μαζί της, χάνοντας τὴν ἰκμάδα τοῦ συνοδοῦ του, ὅταν αὐτὴ (ἡ ψυχὴ) καταβάλλεται ἀπὸ τὴ μέριμνα, τὸν φόβο καὶ τὸν ἔρωτα, καὶ μαρτυρεῖ τὴν ντροπὴ ἢ τὸν τρόμο τῆς ψυχῆς ἐρυθριώντας ἢ ὠχριώντας. Ἡ ψυχὴ εἶναι λοιπὸν ἕνα σῶμα ἐξ αἰτίας τῆς ἀμοιβαίας ἐπίδρασης τῶν παθῶν, ποὺ συμβαίνει μόνο σὲ σωματικὰ πράγματα. (6) Ἀλλὰ καὶ ὁ Χρύσιππος πρότεινε στὸν Κλεάνθη τὸ χέρι, καθὼς ἐπιχειρηματολογοῦσε, ὅτι ἀπὸ κάτι σωματικὸ δὲν θὰ μποροῦσε μὲ κανένα τρόπο νὰ χωριστεῖ κάτι ἀσώματο, γιατὶ δὲν θὰ μποροῦσε βέβαια νὰ ἔρθει μαζί του σ' ἐπαφὴ (γι' αὐτὸ λέει καὶ ὁ Λουκρήτιος (I 305): «Νὰ ἐγγίζει καὶ νὰ ἐγγίζεται μπορεῖ μόνο ἕνα σῶμα.»)· ἀπὸ τὸ σῶμα χωρίζεται λοιπὸν ἡ ψυχή, ὅταν ἐπέρχεται ὁ θάνατος. Ἡ ψυχὴ εἶναι λοιπὸν ἕνα σῶμα· ἂν δὲν εἶναι σωματική, δὲν μπορεῖ ποτὲ νὰ ἐγκαταλείπει τὸ σῶμα.

133α Σχόλια εἰς Πλάτωνος Ἀλκιβιάδην 1, p. 121 E:
Δυὸ φορὲς ἑπτὰ ἐτῶν, τότε ἐμφανίζεται μέσα μας ὁ τέλειος συλλογισμός, ὅπως λένε ὁ Ἀριστοτέλης καὶ ὁ Ζήνων καὶ ὁ Ἀλκμαίων ὁ Πυθαγόρειος.

134 Νεμέσιος, Περὶ τῆς ἀνθρώπου φύσεως 2, p. 76-81:
Ἐπειδὴ καὶ τοῦ Κλεάνθη τοῦ Στωικοῦ καὶ τοῦ Χρυσίππου ἀναφέρονται ὄχι εὐκαταφρόνητα ἐπιχειρήματα, πρέπει νὰ ἐκθέσουμε τὶς ἀναλύσεις των, ὅπως τὶς ἀνέλυσαν οἱ Πλατωνικοί. Ὁ Κλεάνθης πλέκει τὸν ἀκόλουθο συλλογισμό: «ὄχι μόνο», λέει, «γινόμαστε ὅμοιοι μὲ τοὺς γονεῖς μας κατὰ τὸ σῶμα, ἀλλὰ (77) καὶ κατὰ τὴν ψυχὴ μὲ τὰ πάθη, τὰ ἤθη, τὶς διαθέσεις· χαρακτηριστικὸ δὲ τοῦ σώματος εἶναι τὸ ὅμοιο καὶ τὸ ἀνόμοιο, ὄχι ὅμως τοῦ ἀσώματου· σῶμα ἄρα εἶναι ἡ ψυχή.» ἀλλά… (78) λέγει ἀκόμη: «τίποτε τὸ ἀσώματο δὲν συμπάσχει μὲ σῶμα, οὔτε σῶμα μὲ ἀσώματο, ἀλλὰ σῶμα (συμπάσχει) μὲ σῶμα· ἡ ψυχὴ ὡστόσο συμπάσχει μὲ τὸ σῶμα ὅταν νοσεῖ (79) καὶ τέμνεται, καὶ τὸ σῶμα μὲ τὴν ψυχή· γιατὶ ὅταν ντρέπεται γίνεται κόκκινο καὶ ὅταν φοβᾶται ὠχρό· ἄρα ἡ ψυχὴ

τον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον· ἡ δὲ ψυχὴ καὶ ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος· σῶμα ἄρα ἡ ψυχή.»…

11. ὅτι om. D1 A1 A2 | 13, σῶμα ἄρα ἡ ψυχὴ] οὐκ ἄρα ἀσώματος ἡ ψυχὴ A1 A3

134α [Galenus], Historia philosophica 24, p. 613, 12-14 Diels:
Τὴν δὲ οὐσίαν αὐτῆς (sc. τῆς ψυχῆς) οἱ μὲν ἀσώματον ἔφασαν, ὡς Πλάτων, οἱ δὲ σωματικὸν κινοῦν, ὡς Ζήνων καὶ οἱ ἐξ αὐτοῦ· πνεῦμα γὰρ εἶναι ταύτην ὑπενόησαν καὶ οὗτοι.

2. σωματικὸν κινοῦν Mansfeld (Mnemosyne 37, 1984, p. 443-445). Hülser: σῶμα συγκινοῦν B, Diels (assignans corruptelam): *corpus simul secum movens* N: σώματα κινεῖν A von Arnim in textu: ⟨σῶμα, διὰ τὸ⟩ σ.κ. v. Arnim dubit. in adnot. crit.

135 Nemesius, De natura hominis 15, p. 212:
Ζήνων δὲ ὁ Στωικὸς ὀκταμερῆ φησιν εἶναι τὴν ψυχήν, διαιρῶν αὐτὴν εἴς τε τὸ ἡγεμονικὸν καὶ εἰς τὰς πέντε αἰσθήσεις καὶ εἰς τὸ φωνητικὸν καὶ τὸ σπερματικόν. Παναίτιος δὲ ὁ φιλόσοφος τὸ μὲν φωνητικὸν τῆς καθ' ὁρμὴν κινήσεως μέρος εἶναι βούλεται· λέγων ὀρθότατα· τὸ δὲ σπερματικὸν οὐ τῆς ψυχῆς μέρος, ἀλλὰ τῆς φύσεως.

135α Tertullianus, De anima 14, 2:
Dividitur autem in partes, nunc in duas a Platone, nunc in tres a Zenone, nunc in quinque ab Aristotele et in sex a Panaetio…

2. *in quinque «ab Aristotele»* Pamelius, Diels, alii: *in qu.* B Gel: *inquitque* A | *et*] *aut* Esser.

136 Diogenes Laertius 7.110, 157, 159:
(110) Φασὶ δὲ τὴν ψυχὴν εἶναι ὀκταμερῆ· μέρη γὰρ αὐτῆς τά τε πέντε αἰσθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐστὶν αὐτὴ ἡ διάνοια, καὶ τὸ γεννητικόν. (157) Μέρη δὲ ψυχῆς λέγουσιν ὀκτώ, τὰς πέντε αἰσθήσεις καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους καὶ τὸ φωνητικὸν καὶ τὸ λογιστικόν. (159) Ἡγεμονικὸν δ' εἶναι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ.

137 Stobaeus, Eclogae 1.49, 33 (W. I 367):
Ἀλλὰ μὴν οἵ γε ἀπὸ Χρυσίππου καὶ Ζήνωνος φιλόσοφοι καὶ πάντες ὅσοι σῶμα τὴν ψυχὴν νοοῦσι τὰς μὲν δυνάμεις ὡς ἐν τῷ ὑποκειμένῳ ποιότητας συμβιβάζουσι, τὴν δὲ ψυχὴν ὡς οὐσίαν προϋποκειμένην ταῖς δυνά-

εἶναι σῶμα.» …(81) Ὁ Χρύσιππος ἰσχυρίζεται ὅτι «ὁ θάνατος εἶναι χωρισμὸς τῆς ψυχῆς ἀπὸ τὸ σῶμα· τίποτε ὅμως ἀσώματο δὲν χωρίζεται ἀπὸ σῶμα· γιατὶ δὲν ἐφάπτεται τὸ ἀσώματο σώματος· ἡ ψυχὴ ὅμως καὶ ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος· σῶμα ἄρα εἶναι ἡ ψυχή.»…

134α Γαληνός, Περὶ φιλοσόφου ἱστορίας 24, p. 613, 12-14 Diels:
Τὴν οὐσία τῆς ψυχῆς θεωροῦν οἱ μέν, ὅπως ὁ Πλάτων, ἀσώματη, οἱ ἄλλοι ὅμως ἕνα σωματικὸ κινητήρα, ὅπως ὁ Ζήνων καὶ οἱ ὀπαδοί του· γιατὶ ὑπέθεσαν κι' αὐτοὶ ὅτι εἶναι πνοὴ (πνεῦμα).

135 Νεμέσιος, Περὶ φύσεως ἀνθρώπου 15, p. 212:
Ὁ Ζήνων ὁ Στωικὸς λέει ὅτι εἶναι ὀκταμερὴς ἡ ψυχή, διαιρώντας την καὶ στὸ ἡγεμονικὸ καὶ στὶς πέντε αἰσθήσεις καὶ στὸ φωνητικὸ καὶ τὸ σπερματικό. Ἐνῶ ὁ φιλόσοφος Παναίτιος ἤθελε τὸ φωνητικὸ νὰ εἶναι μέρος μιᾶς κίνησης ποὺ στηρίζεται σὲ μιὰ παρόρμηση, πράγμα ποὺ τὸ λέει πολὺ ὀρθά, τὸ δὲ σπερματικὸ νὰ μὴν εἶναι μέρος τῆς ψυχῆς ἀλλὰ τῆς φύσεως.

135α Tertullianus, De anima 14, 2:
Διαιρεῖται λοιπὸν σὲ μέρη καὶ μάλιστα πότε σὲ δύο ἀπὸ τὸν Πλάτωνα, πότε σὲ τρία ἀπὸ τὸν Ζήνωνα, πότε σὲ πέντε ἀπὸ τὸν Ἀριστοτέλη καὶ σὲ ἕξι ἀπὸ τὸν Παναίτιο…

136 Διογένης Λαέρτιος 7.110, 157, 159:
(110) Λένε ὅτι ἡ ψυχὴ εἶναι ὀκταμερής· διότι τὰ μέρη της εἶναι τὰ πέντε αἰσθητήρια ὄργανα καὶ τὸ γλωσσικὸ μέρος καὶ τὸ διανοητικό, ποὺ εἶναι ἡ ἴδια ἡ διάνοια, καὶ τὸ γεννητικὸ (ἀναπαραγωγικὸ) μέρος. (157) Τὰ μέρη τῆς ψυχῆς, λένε, ὀκτώ, οἱ πέντε αἰσθήσεις καὶ οἱ γεννητικὲς δυνάμεις μέσα μας, ἡ δύναμη τῆς γλώσσας καὶ ἡ δύναμη τοῦ λογισμοῦ. (159) Τὸ ἡγεμονικὸ εἶναι, σύμφωνα μ' αὐτούς, τὸ κυριότατο μέρος τῆς ψυχῆς, μέσα στὸ ὁποῖο γεννιοῦνται καὶ οἱ παραστάσεις καὶ οἱ ὁρμὲς καὶ ἀπ' ὅπου ἐκπέμπεται ὁ λόγος, ποὺ βρίσκεται στὴν καρδιά.

137 Στοβαῖος, Ἐκλογαὶ 1.49, 33 (W. I 367):
Οἱ φιλόσοφοι ὅμως, οἱ μαθητὲς τοῦ Χρυσίππου καὶ τοῦ Ζήνωνος καὶ ὅλοι ὅσοι ἐννοοῦν τὴν ψυχὴ ὡς σῶμα, συμβιβάζουν τὶς δυνάμεις (τῆς ψυχῆς) ὡς ποιότητες μέσα σ' ἕνα ὑποκείμενο, τὴν δὲ ψυχὴ τὴ θέτουν ὡς

μεσι τιθέασιν, ἐκ δ' ἀμφοτέρων τούτων σύνθετον φύσιν ἐξ ἀνομοίων
συνάγουσιν.

137α Stobaeus, Eclogae 1.49, 33, p. 368 (ex Iamblicho):
Πῶς οὖν διακρίνονται (sc. αἱ δυνάμεις τῆς ψυχῆς); Κατὰ μὲν τοὺς Στωικοὺς ἔνιαι μὲν διαφορότητι ⟨τῶν⟩ ὑποκειμένων σωμάτων· πνεύματα γὰρ ἀπὸ τοῦ ἡγεμονικοῦ φασιν οὗτοι διατείνειν ἄλλα κατ' ἄλλα, τὰ μὲν εἰς ὀφθαλμούς, τὰ δὲ εἰς ὦτα, τὰ δὲ εἰς ἄλλα αἰσθητήρια· ἔνιαι δὲ ἰδιότητι ποιότητος περὶ τὸ αὐτὸ ὑποκείμενον· ὥσπερ γὰρ τὸ μῆλον ἐν τῷ αὐτῷ σώματι τὴν γλυκύτητα ἔχει καὶ τὴν εὐωδίαν, οὕτω καὶ τὸ ἡγεμονικὸν ἐν ταὐτῷ φαντασίαν, συγκατάθεσιν, ὁρμήν, λόγον συνείληφε.

2. τῶν add. Heeren 3. κατ' Meineke: καὶ FP: εἰς Heeren

137β Stobaeus, Eclogae 1.49, 34, p. 369 (ex Iamblicho):
Οἱ ἀπὸ Ζήνωνος ὀκταμερῆ τὴν ψυχὴν διαδοξάζουσι, περὶ ⟨δέ τινα μέρη⟩ τὰς δυνάμεις εἶναι πλείονας, ὥσπερ ἐν τῷ ἡγεμονικῷ ἐνυπαρχουσῶν φαντασίας, συγκαταθέσεως, ὁρμῆς, λόγου.

138 Aetius, Placita, 4.4, 4 = [Plutarchus], De plac. philos. 898 E-F:
Οἱ Στωικοὶ ἐξ ὀκτὼ μερῶν φασι συνεστάναι (sc. τὴν ψυχήν), πέντε μὲν τῶν αἰσθητικῶν, ὁρατικοῦ ἀκουστικοῦ ὀσφρητικοῦ γευστικοῦ ἁπτικοῦ, ἕκτου δὲ φωνητικοῦ, ἑβδόμου ⟨δὲ⟩ σπερματικοῦ, ὀγδόου ⟨δ'⟩ αὐτοῦ τοῦ ἡγεμονικοῦ, ἀφ' οὗ ταῦτα πάντα ἐπιτέταται διὰ τῶν οἰκείων ὀργάνων προσφερῶς ταῖς τοῦ πολύποδος πλεκτάναις.

3. ⟨δὲ⟩ et ⟨δ'⟩ add. Diels ex Eusebio 4. ἐπιτέτακται Ω: corr. Zeller

139 Aetius, Placita 4.21, 1-4 = [Plutarchus], De plac. philos. 903 A-C:
Οἱ Στωικοί φασιν εἶναι τῆς ψυχῆς ἀνώτατον μέρος τὸ ἡγεμονικὸν τὸ ποιοῦν τὰς φαντασίας καὶ συγκαταθέσεις καὶ αἰσθήσεις καὶ ὁρμάς· καὶ τοῦτο λογισμὸν καλοῦσιν. ἀπὸ δὲ τοῦ ἡγεμονικοῦ ἑπτὰ μέρη ἐστὶ τῆς ψυχῆς ἐκπεφυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα, καθάπερ αἱ ἀπὸ τοῦ πολύποδος πλεκτάναι· τῶν δ' ἑπτὰ μερῶν τῆς ψυχῆς πέντε μέν εἰσι τὰ αἰσθητήρια, ὅρασις ὄσφρησις ἀκοὴ γεῦσις καὶ ἁφή· ὧν ἡ μὲν ὅρασίς ἐστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ὀφθαλμῶν, ἀκοὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ὤτων, ὄσφρησις δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι μυκτήρων (λεπτῦνον), γεῦσις δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι γλώττης, ἁφὴ δὲ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρις ἐπιφανείας εἰς θίξιν εὐαίσθητον τῶν προσπιπτόντων. τῶν δὲ λοιπὸν τὸ μὲν λέγεται σπέρμα, ὅπερ καὶ

μιὰν οὐσία, ἡ ὁποία προϋπόκειται στὶς δυνάμεις, καὶ ἀπὸ τὰ δυὸ αὐτὰ καταλήγουν σὲ μιὰ σύνθετη φύση ἀπὸ ἀνόμοια.

137α Στοβαῖος, Ἐκλογαὶ 1.49, 33, p. 368 (ex Iamblicho):
Πῶς λοιπὸν διακρίνονται οἱ λειτουργίες τῆς ψυχῆς; Μερικὲς ἀπ' αὐτές, σύμφωνα μὲ τοὺς Στωικούς, μὲ βάση τὴ διαφορὰ τῶν ὑποκειμένων σωμάτων. Γιατὶ λένε ὅτι ἐκτείνονται «πνεύματα» ἀπὸ τὸ ἡγεμονικό, μερικὰ στὰ μάτια, μερικὰ στ' αὐτιὰ καὶ μερικὰ στὰ ἄλλα αἰσθητήρια ὄργανα. Μερικὲς ὅμως λειτουργίες διαφοροποιοῦνται μὲ τὴν ἰδιαιτερότητα τῆς ποιότητας σὲ σχέση μὲ τὸ ἴδιο ὑποκείμενο· γιατί, ὅπως τὸ μῆλο στὸ ἴδιο σῶμα ἔχει καὶ τὴ γλυκύτητα καὶ τὴν εὐωδιά, ἔτσι καὶ τὸ ἡγεμονικὸ συνδυάζει στὸ ἴδιο σῶμα καὶ τὴν ἐντύπωση καὶ τὴν συγκατάθεση καὶ τὴν ὁρμὴ καὶ τὸν λόγο.

137β Στοβαῖος, Ἐκλογαὶ 1.49, 34, p. 369 (ex Iamblicho):
Ὁ Ζήνων καὶ οἱ ὀπαδοί του ἔχουν τὴν ἄποψη ὅτι ἡ ψυχὴ εἶναι ὀκταμερής, σὲ ὁρισμένα ὅμως μέρη οἱ δυνάμεις εἶναι περισσότερες, ὅπως στὸ ἡγεμονικὸ (κεντρικὸ ὄργανο) ἐνυπάρχουν ἡ παράσταση, ἡ συγκατάθεση, ἡ ὁρμή, ὁ λόγος.

138 Ἀέτιος, Περὶ ἀρεσκόντων 4.4, 4:
Οἱ Στωικοὶ λένε, ὅτι ἡ ψυχὴ συνίσταται ἀπὸ ὀκτὼ μέρη, πέντε τῶν αἰσθήσεων, τῆς ὅρασης, ἀκοῆς, ὄσφρησης, γεύσης, ἁφῆς, ἕκτο τὸ γλωσσικὸ μέρος, ἕβδομο τὸ γεννητικό, ὄγδοο δὲ τὸ ἴδιο τὸ ἡγεμονικὸ (τὸ κεντρικὸ ὄργανο) ἀπὸ τὸ ὁποῖο ὅλα ἁπλώνονται διὰ μέσου τῶν οἰκείων των ὀργάνων παρόμοια μὲ τὶς πλεκτάνες τοῦ πολύποδα.

139 Ἀέτιος, Περὶ ἀρεσκόντων 4.21, 1-4:
Οἱ Στωικοὶ λένε ὅτι τὸ ἀνώτατο μέρος τῆς ψυχῆς εἶναι τὸ ἡγεμονικὸ (τὸ καθοδηγητικὸ) μέρος, ποὺ παράγει τὶς παραστάσεις καὶ τὶς συγκαταθέσεις καὶ τὶς αἰσθήσεις καὶ τὶς ὁρμές· κι' αὐτὸ τὸ καλοῦν καὶ λογισμό. Ἀπὸ δὲ τὸ ἡγεμονικὸ ἐκφύονται ἑπτὰ μέρη τῆς ψυχῆς ἐκτεινόμενα στὸ σῶμα, ὅπως οἱ πλεκτάνες τοῦ πολύποδα· ἀπὸ τὰ ἑπτὰ αὐτὰ μέρη τῆς ψυχῆς πέντε εἶναι τὰ αἰσθητήρια ὄργανα, ἡ ὅραση, ἡ ὄσφρηση, ἡ ἀκοή, ἡ γεύση καὶ ἡ ἁφή· ἀπὸ τὰ ὁποῖα ἡ ὅραση εἶναι ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τὰ μάτια, ἡ ἀκοὴ ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τὰ ἀφτιά, ἡ ὄσφρηση δὲ ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τὰ ρουθούνια, ἡ γεύση πάλι ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικό μέχρι τὴ γλώσσα, ἡ ἁφὴ τέλος ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τὴν ἐπιφάνεια (τοῦ δέρματος)

αὐτὸ πνεῦμά ἐστι διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι τῶν παραστατῶν· τὸ δὲ «φωνᾶεν» ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἐστὶ πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων. αὐτὸ δὲ τὸ ἡγεμονικὸν ὥσπερ ἐν κόσμῳ κατοικεῖ ἐν τῇ ἡμετέρᾳ σφαιροειδεῖ κεφαλῇ.

9. [λεπτῦνον] del. Reiske 12 τὸ Diels (sec. Ps.-Galenum): ὃ Ω 16. post κόσμῳ add. ⟨ὁ ἥλιος⟩ Diels in app. crit.

140 Galenus, De placitis Hippocratis et Platonis 2.5, 6-24, p. 128-132 De Lacy: *Οὔκουν οὔθ' ὅτι πλησίον ἐγκεφάλου τὰ ὦτα καὶ οἱ ὀφθαλμοὶ καὶ αἱ ῥῖνες, ἐντεῦθεν αὐτοῖς ἡ τῆς αἰσθητικῆς δυνάμεώς ἐστιν ἀρχὴ οὔθ' ὅτι πλησίον ἐστὶ καρδίας τὰ φωνητικά τε καὶ ἀναπνευστικὰ μόρια, διὰ τοῦτ' ἐκ καρδίας αὐτοῖς ἡ ἀρχή. (7) καὶ μὴν ὁ θαυμαζόμενος ὑπὸ τῶν Στωικῶν λόγος ὁ Ζήνωνος, ὃν καὶ πρῶτον ἁπάντων ἔγραψεν ἐν τῷ Περὶ τοῦ τῆς ψυχῆς ἡγεμονικοῦ Διογένης ὁ Βαβυλώνιος, οὐκ ἐξ ἄλλου τινὸς ἔχει τὸ θαυμάζεσθαι πλὴν οὗ νῦν εἶπον ἀξιώματος ἤδη. (8) εἴσῃ δ' ἐναργέστερον εἰ παραγράψαμεν αὐτόν· ἔχει γὰρ ὧδε· «Φωνὴ διὰ φάρυγγος χωρεῖ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει. ὅθεν δὲ λόγος, καὶ φωνὴ ἐκεῖθεν χωρεῖ. λόγος δὲ ἀπὸ διανοίας χωρεῖ, ὥστ' οὐκ ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια.» (9) Τὸν αὐτὸν δὴ τοῦτον λόγον Διογένης οὐ κατὰ τὴν αὐτὴν ἐρωτᾷ λέξιν, ἀλλ' ὧδε· «Ὅθεν ἐκπέμπεται ἡ φωνή, καὶ ἡ ἔναρθρος, οὐκοῦν καὶ ἡ σημαίνουσα ἔναρθρος φωνὴ ἐκεῖθεν, τοῦτο δὲ λόγος καὶ λόγος ἄρα ἐκεῖθεν ἐκπέμπεται ὅθεν καὶ ἡ φωνή. (10) ἡ δὲ φωνὴ οὐκ ἐκ τῶν κατὰ τὴν κεφαλὴν τόπων ἐκπέμπεται ἀλλὰ φανερῶς ἐκ τῶν κάτωθεν μᾶλλον, ἐκφανὴς γοῦν ἐστι διὰ τῆς ἀρτηρίας διεξιοῦσα. καὶ ὁ λόγος ἄρα οὐκ ἐκ τῆς κεφαλῆς ἐκπέμπεται, ἀλλὰ κάτωθεν μᾶλλον. (11) ἀλλὰ μήν γε κἀκεῖνο ἀληθές, τὸ τὸν λόγον ἐκ τῆς διανοίας ἐκπέμπεσθαι· ἔνιοι γοῦν ὁριζόμενοι αὐτόν φασιν εἶναι φωνὴν σημαίνουσαν ἀπὸ διανοίας ἐκπεμπομένην. (12) καὶ ἄλλως δὲ πιθανὸν ὑπὸ τῶν ἐννοιῶν ἐνσεσημασμένον τῶν ἐν τῇ διανοίᾳ καὶ οἷον ἐκτετυπωμένον ἐκπέμπεσθαι τὸν λόγον καὶ παρεκτείνεσθαι τῷ χρόνῳ κατά τε τὸ διανενοῆσθαι καὶ τὴν κατὰ τὸ λέγειν ἐνέργειαν. (13) καὶ ἡ διάνοια ἄρα οὐκ ἔστιν ἐν τῇ κεφαλῇ, ἀλλ' ἐν τοῖς κατωτέρω τόποις, μάλιστά πως περὶ τὴν καρδίαν.» (14) Τοιοῦτος μέν σοι καὶ ὁ τοῦ Διογένους λόγος, ἔμπαλιν ἢ κατὰ τὸν τοῦ Ζήνωνος εἰς μῆκος ῥήσεων ἐκτεταμένος, ὥστε ἐκείνῳ μὲν ἐλλείπειν τινὰ τῶν ἀναγκαίων ἀξιωμάτων, πλεονάζειν δὲ τούτῳ. (15) βούλομαι δὲ πρὶν ἐλέγχειν αὐτοὺς ἔτι καὶ τὸν τοῦ Χρυσίππου παραθέσθαι τόνδε τὸν τρόπον ἔχοντα· «Εὔλογον δὲ εἰς ὃ γίγνονται αἱ ἐν τούτῳ σημασίαι καὶ ἐξ οὗ λόγος, ἐκεῖνο εἶναι τὸ κυριεῦον τῆς ψυχῆς μέρος. (16) οὐ γὰρ ἄλλη μὲν ἡ πηγὴ λόγου ἐστὶν ἄλλη δὲ διανοίας, οὐδὲ ἄλλη μὲν φωνῆς πηγὴ ἄλλη δὲ λόγου, οὐδὲ τὸ ὅλον ἁπλῶς ἄλλη φωνῆς πηγή ἐστιν*

εὐαίσθητο στὸ ἄγγιμα τῶν πραγμάτων ποὺ προσπίπτουν πάνω σ' αὐτό. Ἀπὸ τὰ ὑπόλοιπα μέρη τὸ μὲν ἕνα λέγεται σπέρμα, ποὺ εἶναι τὸ ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τοὺς ὄρχεις· τὸ δὲ «φωνᾶεν» ποὺ ἔτσι κάλεσε ὁ Ζήνων, αὐτὸ ποὺ λένε φωνὴ (γλώσσα), εἶναι τὸ ρεῦμα πνοῆς ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ μέχρι τὸν φάρυγγα καὶ τὴ γλώσσα καὶ τὰ οἰκεῖα ὄργανα. Αὐτὸ ὅμως τὸ ἴδιο τὸ ἡγεμονικὸ κατοικεῖ ὅπως μέσα σ' ἕνα κόσμο στὴ σφαιροειδή μας κεφαλή.

140 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 2.5, 6-24, p. 128-132 De Lacy:
Ὅχι λοιπὸν διότι εἶναι κοντὰ στὸν ἐγκέφαλο τὰ ἀφτιὰ καὶ τὰ μάτια καὶ οἱ μύτες, ἀπ' ἐκεῖ εἶναι γι' αὐτὰ ἡ ἀρχὴ τῆς δύναμης τῆς αἰσθήσεως, οὔτε διότι εἶναι κοντὰ στὴν καρδιὰ τὰ φωνητικὰ καὶ τὰ ἀναπνευστικὰ μέρη, γι' αὐτὸ καὶ ἡ ἀρχή τους εἶναι ἀπ' τὴν καρδιά. (7) Καὶ τὸ θαυμαζόμενο ἀπὸ τοὺς Στωικοὺς ἐπιχείρημα τοῦ Ζήνωνος, ποὺ ἀναφέρει ὁ Διογένης ὁ Βαβυλώνιος στὸ βιβλίο του «Περὶ τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς», καὶ μάλιστα στὴν ἀρχή, δὲν θαυμάζεται γιὰ κανένα ἄλλο λόγο, παρὰ μόνο ἀπὸ τὴν πρόταση ποὺ τώρα δὰ εἶπα. (8) Αὐτὸ θὰ τὸ μάθεις σαφέστερα, ἂν τὸ προσθέσω· γιατὶ ἔχει ὡς ἀκολούθως· «Ἡ φωνὴ ἔρχεται διὰ τοῦ φάρυγγος. Ἂν ἐρχόταν ἀπὸ τὸν ἐγκέφαλο, δὲν θὰ ἐρχόταν ἀπὸ τὸν φάρυγγα. Κι' ἀπ' ὅπου ὁ λόγος καὶ ἡ φωνὴ ἀπ' ἐκεῖ ἔρχεται. Ὁ λόγος ὅμως ἔρχεται ἀπὸ τὴ διάνοια, ὥστε δὲν βρίσκεται στὸν ἐγκέφαλο ἡ διάνοια.» (9) Τὸ ἴδιο ἐπιχείρημα τὸ διατυπώνει ὁ Διογένης, ὄχι ὅμως μὲ τὶς ἴδιες λέξεις, ἀλλὰ ὡς ἑξῆς· «ἀπ' ὅπου ἐκπέμπεται ἡ φωνή, καὶ ἡ ἔναρθρη, ἀπ' ἐκεῖ καὶ ἡ σημαίνουσα ἔναρθρη φωνή, κι' αὐτὸ εἶναι ὁ λόγος, καὶ ὁ λόγος ἄρα ἀπ' ἐκεῖ ἐκπέμπεται ἀπ' ὅπου καὶ ἡ φωνή. (10) ἡ φωνὴ δὲν ἐκπέμπεται ὅμως ἀπὸ τὴν περιοχὴ τῆς κεφαλῆς ἀλλὰ φανερὰ ἀπὸ τὴν πιὸ κάτω περιοχή. Γιατὶ περνᾶ ἔκδηλα διὰ μέσου τῶν ἀεροφόρων ἀγγείων. Καὶ ὁ λόγος ἄρα δὲν ἐκπέμπεται ἀπὸ τὴν κεφαλὴ ἀλλὰ μᾶλλον ἀπὸ πιὸ κάτω. (11) Ἀλλ' ὅμως κι' ἐκεῖνο εἶναι ἀλήθεια, τὸ ὅτι ὁ λόγος ἐκπέμπεται ἀπὸ τὴ διάνοια. Μερικοὶ γι' αὐτὸ ὁρίζοντάς τον λένε ὅτι εἶναι φωνὴ σημαίνουσα ἐκπεμπόμενη ἀπὸ τὴ διάνοια. (12) Ἐξ ἄλλου εἶναι πιθανόν, ὅτι ὁ λόγος ἐνσημασμένος ἀπὸ τὶς ἔννοιες ποὺ βρίσκονται στὴ διάνοια καὶ σὰν ἐκτυπωμένος ἐκπέμπεται καὶ ἐπεκτείνεται σὲ χρόνο σύμφωνα μὲ τὴν ἐνέργεια τοῦ διανοεῖσθαι καὶ τοῦ λέγειν. (13) Ἄρα καὶ ἡ διάνοια δὲν εἶναι στὴν κεφαλή, ἀλλὰ μέσα στὶς κατώτερες περιοχές, καὶ μάλιστα στὴν περιοχὴ τῆς καρδιᾶς.» (14) Τέτοιο εἶναι καὶ τὸ ἐπιχείρημα τοῦ Διογένη. Ὡς πρὸς τὸ μῆκος τῆς διατύπωσης ἀποτελεῖ ἀντίθεση πρὸς ἐκεῖνο τοῦ Ζήνωνος, ὥστε ἀπ' ἐκεῖνο τὸ τελευταῖο νὰ ἐλλείπουν μερικὲς ἀπὸ τὶς ἀναγκαῖες προτάσεις, ἐνῶ σὲ τοῦτο νὰ πλεονάζουν. (15) Θέλω ὡστόσο, προτοῦ ἀνατρέψω αὐτὰ (τὰ ἐπιχειρήματα), νὰ παραθέσω καὶ τὸ ἐπιχείρημα τοῦ Χρυσίππου ποὺ ἔχει ὡς ἑξῆς: «Εἶναι εὔλογο, ὅτι ἐκεῖνο εἶναι τὸ

ἄλλο δὲ τὸ κυριεῦον τῆς ψυχῆς μέρος.» (17) –τοιούτοις δὲ καὶ τὴν διάνοιαν συμφώνως ἀφοριζόμενοι λέγουσιν αὐτὴν πηγὴν εἶναι λόγου.– (18) «τὸ γὰρ ὅλον ὅθεν ὁ λόγος ἐκπέμπεται ἐκεῖσε δεῖ καὶ τὸν διαλογισμὸν γίγνεσθαι καὶ τὰς διανοήσεις καὶ τὰς μελέτας τῶν ῥήσεων, καθάπερ ἔφην. (19) ταῦτα δὲ ἐκφανῶς περὶ τὴν καρδίαν γίγνεται, ἐκ τῆς καρδίας διὰ φάρυγγος καὶ τῆς φωνῆς καὶ τοῦ λόγου ἐκπεμπομένων. (20) πιθανὸν δὲ καὶ ἄλλως, εἰς ὃ ἐνσημαίνεται τὰ λεγόμενα, καὶ σημαίνεσθαι ἐκεῖθεν καὶ τὰς φωνὰς ἀπ' ἐκείνου γίγνεσθαι κατὰ τὸν προειρημένον τρόπον.» (21) ῞Αλις ἤδη μοι τῶν περὶ τῆς φωνῆς λόγων τῶν Στωικῶν· εἰ γὰρ καὶ τοὺς ὑπὸ τῶν ἄλλων ἠρωτημένους ἐφεξῆς γράφοιμι σύμπαντας, εἰς ἄμετρόν τι μῆκος ἐκπεσεῖται τὸ γράμμα. (22) οὐ γὰρ ἂν οὐδὲ τῶν ὑπὸ Χρυσίππου τε καὶ Διογένους εἰρημένων ἐμνημόνευσα λόγων, ἀλλ' ἠρκέσθην ἐξετάσας τὸν τοῦ Ζήνωνος μόνον, εἰ μὴ πρός τινα τῶν Στωικῶν ἐγεγόνει μοί ποτε ἀμφισβήτησις ὑπὲρ τοῦ χωρεῖ ῥήματος, ὃ παρέλαβεν ὁ Ζήνων ἐν τῷ λόγῳ γράψας ὧδί· «φωνὴ διὰ φάρυγγος χωρεῖ.» (23) τὸ γὰρ χωρεῖ τοῦτο ῥῆμα ἐγὼ μὲν ἠξίουν ἀκούειν ἐν ἴσῳ τῷ ἐξέρχεται ἢ ἐκπέμπεται. ὁ δὲ τούτων μὲν μηδέτερον ἔφη σημαίνεσθαι πρὸς αὐτοῦ καὶ τρίτον ἄλλο παρὰ ταῦτα λέγειν οὐκ εἶχεν. (24) ἠναγκάσθην οὖν αὐτῷ τὰ τῶν ἄλλων Στωικῶν παραναγινώσκειν βιβλία μεταλαμβανόντων τὴν λέξιν ἢ εἰς τὸ ἐξέρχεται ἢ εἰς τὸ ἐκπέμπεται, καθάπερ καὶ νῦν ἀπέδειξα Χρύσιππόν τε καὶ Διογένην, μεθ' οὓς οὐκ ἀναγκαῖον ἡγοῦμαι τὰς τῶν ἄλλων παραγράφειν ῥήσεις, ἀλλ' ἐπὶ τὴν ἐξέτασιν αὐτῶν ἤδη τρέψομαι τὴν ἀρχὴν ἀπὸ τοῦ Ζήνωνος ποιησάμενος, ὅσπερ δὴ καὶ πατήρ ἐστι τοῦ τε περὶ τῆς φωνῆς λόγου τοῦδε καὶ ἁπάσης τῆς τῶν Στωικῶν αἱρέσεως.

14. bis ante λόγος add. ὁ C 16. ἐστι διὰ] ἐστὶν ἐκ C 21. ἐνσεσημ.] σεσημ. C 22. χρόνῳ] λόγῳ C ‖ κατά] fortasse παρά: (Müller) 29. ἐν τούτῳ] ἐν τύπῳ Cornarius: del. Müller 30. λόγος] ⟨ὁ⟩ λόγος ⟨ἐκπέμπεται⟩ Müller («ὁ» λ. v. Arnim quoque): *sermo procedit* Andernach in transl. Lat. (1534) 31. ἡ del. Müller 46. ὅπερ ἔλαβεν HC: corr. Müller

140α Calcidius, In Platonis Timaeum c. 220 sq.:

Stoici vero con quidem sedem esse principalis animae partis consentiunt nec tamen sanguinem qui cum corpore nascitur. Spiritum quippe Zeno quaerit hactenus: «Quo recedente a corpore moritur animal, hoc certe anima est; naturali porro spiritu recedente moritur animal, naturalis igitur spiritus anima est. igitur spiritus anima est».

κυριαρχικὸ μέρος τῆς ψυχῆς, στὸ ὁποῖο οἱ σημασίες ποὺ περιέχονται στὸν λόγο εἰσέρχονται καὶ ἀπὸ τὸ ὁποῖο ὁ λόγος προέρχεται. (16) Γιατὶ δὲν εἶναι ἄλλη ἡ πηγὴ τοῦ λόγου καὶ ἄλλη τῆς διάνοιας, οὔτε ἄλλη ἡ πηγὴ τῆς φωνῆς ἄλλη δὲ τοῦ λόγου, οὔτε εἶναι, γιὰ νὰ μιλήσουμε ἁπλῶς γιὰ τὸ ὅλο, ἡ πηγὴ τῆς φωνῆς κάτι ἄλλο ἀπὸ τὸ κυριαρχικὸ μέρος τῆς ψυχῆς.» (17) Σὲ συμφωνία μὲ τέτοιες θέσεις ὁρίζοντας τὴ διάνοια λένε ὅτι αὐτὴ εἶναι ἡ πηγὴ τοῦ λόγου. (18) «Γιατὶ γενικὰ ἀπ' ὅπου ἐκπέμπεται ὁ λόγος πρὸς τὰ ἐκεῖ γίνονται καὶ ὁ διαλογισμὸς καὶ τὰ διανοήματα καὶ ἡ προετοιμασία τῶν ὁμιλιῶν, ὅπως ἀνέφερα. (19) Αὐτὰ ὅμως συμβαίνουν προφανῶς στὴν περιοχὴ τῆς καρδιᾶς, ἀπὸ τὴν καρδιὰ διὰ τοῦ φάρυγγος ἐκπέμπονται καὶ ἡ φωνὴ καὶ ὁ λόγος. (20) Εἶναι ἐξ ἄλλου πιθανόν, σ' ἐκεῖνο ὅπου σηματοδοτοῦνται τὰ λεγόμενα, ἀπ' ἐκεῖ νὰ προέρχονται καὶ οἱ φωνὲς κατὰ τὸν τρόπο, ποὺ περιγράψαμε προηγουμένως.» (21) Ἀρκετὰ μοῦ εἶναι ὅσα εἶπα γιὰ τὰ ἐπιχειρήματα τῶν Στωικῶν σχετικὰ μὲ τὴ φωνή· γιατί, ἂν ἔγραφα ὅλα τὰ ἐπιχειρήματα, ποὺ ἐξέφεραν οἱ ἄλλοι Στωικοί, θὰ ξέπεφτε ἡ γραφή μου σὲ ἄμετρο μῆκος. (22) Γιατὶ δὲν ἔπρεπε νὰ μνημονεύσω τὰ ἐπιχειρήματα οὔτε τοῦ Χρυσίππου, οὔτε τοῦ Διογένη, ἀλλὰ θὰ μοῦ ἦταν ἀρκετὸ νὰ ἐλέγξω ἐκεῖνα μόνο τοῦ Ζήνωνος, ἂν δὲν μοῦ εἶχε συμβεῖ κάποτε νὰ ἔρθω σὲ ἀμφισβήτηση μὲ κάποιον ἀπὸ τοὺς Στωικοὺς γιὰ τὸ ρῆμα «χωρεῖ», ποὺ χρησιμοποίησε ὁ Ζήνων στὸ ἐπιχείρημά του γράφοντας ὡς ἑξῆς· «ἡ φωνὴ χωρεῖ διὰ τοῦ φάρυγγος.» (23) Εἶχα δηλ. ἐγὼ τὴ γνώμη ὅτι αὐτὸ τὸ ρῆμα θὰ εἶχε τὴν ἴδια σημασία ὅπως τὸ «ἐξέρχεται» ἢ «ἐκπέμπεται». Αὐτὸς ὅμως (ὁ Στωικὸς) ἔλεγε ὅτι τίποτα ἀπ' αὐτὰ δὲν σημαίνει ἀλλὰ δὲν εἶχε νὰ πεῖ μιὰ διαφορετικὴ ἀπ' αὐτὲς σημασία. (24) Ἀναγκάστηκα λοιπὸν νὰ συγκρίνω μ' αὐτὸν τὰ βιβλία τῶν ἄλλων Στωικῶν ποὺ ἀνταλλάσσουν τὴ λέξη ἢ μὲ τὸ «ἐξέρχεται» ἢ μὲ τὸ «ἐκπέμπεται», ὅπως ἀπέδειξα καὶ τώρα μὲ τὸν Χρύσιππο καὶ τὸν Διογένη, μετὰ τοὺς ὁποίους δὲν νομίζω ἀναγκαῖο νὰ ἀναφέρω τὶς ρήσεις τῶν ἄλλων, ἀλλὰ θὰ τραπῶ στὴν ἄσκηση κριτικῆς ἐναντίον τους κάνοντας τὴν ἀρχὴ ἀπὸ τὸν Ζήνωνα, ποὺ εἶναι καὶ ὁ πατέρας αὐτοῦ ἐδῶ τοῦ ἐπιχειρήματος γιὰ τὴ φωνὴ καὶ ὅλης τῆς Σχολῆς τῶν Στωικῶν.

140α Calcidius, In Platonis Timaeum c. 220 sq.:

Οἱ Στωικοὶ ὁμόφωνα ἔχουν τὴν ἄποψη, ὅτι ἡ ἕδρα τοῦ ἡγεμονικοῦ μέρους (τοῦ κεντρικοῦ ὀργάνου) τῆς ψυχῆς εἶναι ἡ καρδιὰ καὶ κατ' οὐδένα τρόπο τὸ αἷμα, ποὺ γεννιέται μαζὶ μὲ τὸ σῶμα. Ὑπὲρ αὐτοῦ λοιπόν, ὅτι ἡ ψυχὴ εἶναι μιὰ πνοὴ (πνεῦμα) ἐπιχειρηματολογεῖ ὁ Ζήνων μὲ τὰ ἀκόλουθα: «Ἐκεῖνο, ποὺ μὲ τὴν ἀπομάκρυνσή του ἀπὸ τὸ σῶμα πεθαίνει τὸ ζῶο, εἶναι σίγουρα ἡ ψυχή· πρὸς τούτοις εἶναι ἡ φυσικὴ πνοή, ποὺ μὲ τὴν ἀπομάκρυνσή της πεθαίνει τὸ ζῶο· ἄρα ἡ φυσικὴ πνοὴ εἶναι ἡ ψυχή.»

141 Galenus, De placitis Hippocratis et Platonis 3.7, 42-44, p. 220 De Lacy:
Ἐμοὶ μὲν δὴ δοκεῖ τῷ περὶ τῆς φωνῆς λόγῳ καὶ νῦν προσχρῆσθαι. τεκμαίρομαι δὲ καὶ ἐκ τῶν ἐπιφερομένων· «ἀπὸ γὰρ τῆς διανοίας», φησί, «δεῖ λέγειν καὶ ἐν ἑαυτῷ λέγειν (ἢ φωνὴν διεξιέναι) καὶ διανοεῖσθαι καὶ ἐν ἑαυτοῖς φωνὴν διεξιέναι καὶ ἐκτὸς ἐκπέμπειν.» (43) ὁμολογούμενον γάρ τι λαμβάνων ὡς τοῦ αὐτοῦ μορίου τὸ λέγειν εἴη καὶ τὸ ἐν ἑαυτῷ λέγειν, εἶτα προσλαμβάνων αὐτῷ τῆς καρδίας ἔργον εἶναι τὸ λέγειν, ἐξ ἀμφοῖν ἔχει περαινόμενον ἐν τῇ καρδίᾳ γίνεσθαι τὸ ἐν ἑαυτῷ λέγειν. (44) ἀλλ’ ἡμεῖς γε κατὰ τὸ πρὸ τούτου γράμμα τὸν ὑπὸ τοῦ Ζήνωνος ἐρωτηθέντα λόγον ὑπὲρ τοῦ τὴν φωνὴν ἀπὸ τῆς καρδίας ἐκπέμπεσθαι μοχθηρὸν ἐπεδείξαμεν, ὥστε καὶ ὁ νῦν ἐρωτώμενος ὑπὸ τοῦ Χρυσίππου λόγος ἅμα ἐκείνῳ συνανῄρηται.

3. (ἢ φ. διεξ.) del. v. Arnim: καὶ φ. δ. Müller ‖ καὶ διανοεῖσθαι ex καρδίαν νοεῖσθαι corr. H2: καὶ καρδίας ἐστὶ νοεῖσθαι Müller ‖ ἑαυτοῖς «λέγειν καὶ» Müller 6. προσλαμβάνον H: corr. Ald. ‖ αὐτῷ Kaibfleisch: αὐτὸ H

141α Galenus, De placitis Hippocratis et Platonis 3.5 (Kühn vol. 5, p. 322):
Ὅ τε Ζήνων πρὸς τοὺς ἐπιλαμβανομένους, ὅτι πάντα τὰ ζητούμενα εἰς τὸ στόμα φέρειν ἔφησεν, ἀλλ’ οὐ πάντα καταπίνεται, οὔτε τῆς καταπόσεως ἄλλως ἂν οἰκειότερον λεγομένης, οὔτε τῆς καταβάσεως τῶν ῥηθέντων, εἰ μὴ περὶ τὸν θώρακα τὸ ἡγεμονικὸν ἡμῶν ἦν, εἰς ὃ ταῦτα πάντα φέρεται. ἐν γοῦν τῇ κεφαλῇ ὄντος αὐτοῦ γελοίως ῥηθήσεται καὶ ἀλλοτρίως καταβαίνειν.

142 Epiphanius, Adversus haeres. 3.2, 9 (Dindorf 3, p. 567):
*(26) ἔλεγε δὲ [ὁ Ζήνων] καὶ μετὰ χωρισμὸν τοῦ σώματος*** καὶ ἐκάλει τὴν ψυχὴν πολυχρόνιον πνεῦμα, οὐ μὴν δὲ ἄφθαρτον δι’ ὅλου ἔλεγεν αὐτὴν εἶναι· ἐκδαπανᾶται γὰρ ὑπὸ τοῦ πολλοῦ χρόνου εἰς τὸ ἀφανές, ὥς φησι.*

1. χρόνον τινὰ διαμένειν vel similia excidisse vidit Diels

143 Themistius, De anima f. 68 2, p. 30, 17 (Spengel):
Οὐδὲ γὰρ οἱ πνεῦμα τὴν ψυχὴν λέγοντες καὶ τὴν κίνησιν αὐτῇ τὴν κατὰ τόπον διδόντες ἐξελθοῦσαν εἰσιέναι πάλιν συγχωρήσειαν ἄν. Κακῶς οὖν, ὦ βέλτιστε, καὶ οὐκ ἀκολούθως τῇ ὑποθέσει, ἣν δογματίζουσιν. Εἰ γὰρ σῶμα ἔξεισιν ἐκ τοῦ σώματος, διὰ τί καὶ οὐκ εἴσεισι πάλιν; τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων ὁρῶμεν, οἷον τῶν ἐν τόπῳ καὶ τῶν ἐν ἀγγείῳ ἀλλ’ ὅμως Ζήνωνι μὲν ὑπολείπεταί τις ἀπολογία κεκρᾶσθαι ὅλην δι’ ὅλου τοῦ σώματος φάσκοντι τὴν ψυχὴν καὶ τὴν ἔξοδον αὐτῆς ἄνευ φθορᾶς τοῦ συγκρίματος μὴ ποιοῦντι.

141 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 3.7, 42-44, p. 220 De Lacy:
Κατὰ τὴν ἄποψή μου χρησιμοποιεῖ (ὁ Χρύσιππος) καὶ τώρα ἀκόμη τὸ ἐπιχείρημα γιὰ τὴ φωνή. Τὸ δηλώνω ἐξ ὅσων ἀναφέρει συμπερασματικά· «διότι ἀπὸ τὴ διάνοια», λέει, «πρέπει νὰ προέρχεται καὶ τὸ λέγειν καὶ τὸ νὰ διαλέγεται κανεὶς μὲ τὸν ἑαυτό του, ὅπως καὶ τὸ νὰ διανοεῖται καὶ νὰ διεξέρχεται μιὰ φωνὴ μέσα στὸν ἑαυτό του καὶ νὰ ἐκπέμπεται πρὸς τὰ ἔξω.» (43) Γιατὶ ὡς πρώτη ὁμολογούμενη πρόταση λαμβάνει, ὅτι, τὸ νὰ λέγει κανεὶς καὶ νὰ διαλέγεται μὲ τὸν ἑαυτό του, ἀνήκουν στὸ ἴδιο μέρος, ἔπειτα ἐπιπρόσθετα δέχεται, ὅτι εἶναι ἔργο τῆς καρδιᾶς νὰ λέγει, καὶ ἀπὸ τὶς δύο αὐτὲς προτάσεις συμπεραίνει ὅτι τὸ νὰ διαλέγεται κανεὶς μὲ τὸν ἑαυτό του συμβαίνει μέσα στὴν καρδιά. (44) Ἔχουμε ὅμως στὸ προηγούμενο βιβλίο ἀποδείξει ὅτι τὸ διατυπωμένο ἀπὸ τὸν Ζήνωνα ἐπιχείρημα, ὅτι ἡ φωνὴ ἐκπέμπεται ἀπὸ τὴν καρδιά, εἶναι λανθασμένο, ἔτσι ὥστε καὶ τώρα τὸ ἐπιχείρημα, ποὺ διατυπώνεται ἀπὸ τὸν Χρύσιππο, ἔχει ἀναιρεθεῖ μαζὶ μ' ἐκεῖνο.

141α Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 3.5 (Kühn vol. 5, p. 322):
Καὶ ὁ Ζήνων πρὸς αὐτοὺς ποὺ ἀντιλέγουν ὅτι ὅλα τὰ ζητήματα τὰ φέρουμε στὸ στόμα, εἶπε, μὰ δὲν καταπίνονται ὅλα, οὔτε κι' ἂν ἡ κατάποση θὰ λεγόταν μ' ἕνα καταλληλότερο τρόπο, οὔτε καὶ ἡ κατάβαση ὅσων εἴπαμε, ἂν δὲν ἦταν τὸ ἡγεμονικό μας στὸν θώρακα, στὸν ὁποῖο ὅλα αὐτὰ φέρονται. Ἂν ἦταν λοιπὸν αὐτὸς στὸ κεφάλι, θὰ ἦταν γελοῖο νὰ εἰπωθεῖ καὶ παράξενο νὰ κατεβαίνουν.

142 Ἐπιφάνιος, Κατὰ αἱρέσεων 3.2, 9 (Dindorf 3, p. 567):
(26) ἔλεγε δὲ [ὁ Ζήνων] καὶ μετὰ τὸν χωρισμὸ τοῦ σώματος …καὶ ὀνόμαζε τὴν ψυχὴ ἕνα πολυχρόνιο πνεῦμα (πνοή), ὡστόσο ἔλεγε ὅτι δὲν εἶναι αἰώνια ἄφθαρτο. Γιατὶ ξοδεύεται ἀπὸ τὸν πολὺ χρόνο καὶ πάει στὴν ἀφάνεια, ὅπως λέει.

143 Θεμίστιος, Περὶ ψυχῆς 68 2, p. 30, 17 (Spengel):
Γιατὶ οὔτε αὐτοί, ποὺ λένε ὅτι ἡ ψυχὴ εἶναι πνεῦμα καὶ ποὺ ἀποδίδουν σ' αὐτὴ τὴν κατὰ τόπο κίνηση, δὲν θὰ συμφωνοῦσαν ὅτι, ἀφοῦ βγεῖ ἀπὸ τὸ σῶμα πάλι θὰ μπεῖ. Λανθασμένα λοιπόν, φίλτατέ μου, καὶ χωρὶς συνέπεια ὡς πρὸς τὴν ὑπόθεσή τους δογματίζουν. Γιατί, ἂν ὡς σῶμα βγαίνει ἀπὸ τὸ σῶμα, γιὰ ποιὸ λόγο νὰ μὴν μπαίνει πάλι; Αὐτὸ δηλ. βλέπουμε καὶ στὰ ἄλλα, ὅπως ὅσα εἶναι σὲ τόπο καὶ ὅσα εἶναι μέσα σὲ ἀγγεῖο. Στὸν Ζήνωνα ὅμως ὑπολείπεται νὰ δώσει μιὰν ἐξήγηση γι' αὐτὸ ποὺ λέει, ὅτι ἡ ψυχὴ εἶναι ἕνα κρᾶμα μὲ ὁλόκληρο τὸ σῶμα καὶ δὲν κάνει τὴν ἔξοδό της (ἀπὸ τὸ σῶμα), χωρὶς τὴ φθορὰ τοῦ κράματος.

144 Lactantius, Divinae Institutiones 7.7, 20:
Esse inferos Zenon Stoicus docuit et sedes piorum ab impiis esse discretas: et illos quidem quietas et delectabiles incolere regiones, hos vero lucre poenas in tenebrosis locis atque in caeni voraginibus horrendis.

5. Η ΦΩΝΗ ΚΑΙ Ο ΛΟΓΟΣ

145 Aetius, Placita 4.21, 4. (DG. p. 410-411):
Τὸ δὲ «φωνᾶεν» ὑπὸ τοῦ Ζήνωνος εἰρημένον, ὃ καὶ φωνὴν καλοῦσιν, ἔστι πνεῦμα διατεῖνον ἀπὸ τοῦ ἡγεμονικοῦ μέχρι φάρυγγος καὶ γλώττης καὶ τῶν οἰκείων ὀργάνων.

145α Diogenes Laertius 7.55 (Diog. Babyl. 17):
Ἔστι δὲ φωνὴ ἀὴρ πεπληγμένος ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς, ὥς φησι Διογένης ὁ Βαβυλώνιος ἐν τῇ περὶ τῆς φωνῆς τέχνῃ· ⟨καὶ⟩ ζῴου μέν ἐστι φωνὴ ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος, ἀνθρώπου δέ ἐστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν, ἥτις ἀπὸ δεκατεσσάρων ἐτῶν τελειοῦται.

145β Eustathios, Commentarii in Homeri Iliadem Σ 506 p. 1158, 37:
Ἠεροφώνους κήρυκας Ὅμηρος κἀνταῦθα εἰπὼν τὸν κατὰ Ζήνωνα τῆς φωνῆς ὅρον προϋπέβαλεν εἰπόντα· «φωνή ἐστιν ἀὴρ πεπληγμένος.»

146 Aetius, Placita 4.20, 2 = [Plutarchus], De plac. philos. 902 F-903 A:
Οἱ δὲ Στωικοὶ σῶμα τὴν φωνήν· πᾶν γὰρ τὸ δρῶν ἢ καὶ ποιοῦν σῶμα ἡ δὲ φωνὴ ποιεῖ καὶ δρᾷ· ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθανόμεθα προσπιπτούσης τῇ ἀκοῇ καὶ ἐκτυπούσης καθάπερ δακτυλίου εἰς κηρόν. ἔτι πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστι, κινεῖ δ'ἡμᾶς ἡ εὐμουσία ἐνοχλεῖ δ' ἡ ἀμουσία. ἔτι πᾶν τὸ κινούμενον σῶμά ἐστι· κινεῖται δ' ἡ φωνὴ καὶ προσπίπτει εἰς τοὺς λείους τόπους καὶ ἀντανακλᾶται, καθάπερ ἐπὶ τῆς σφαίρας τῆς βαλλομένης εἰς τοῖχον· ἐν γοῦν ταῖς κατ' Αἴγυπτον πυραμίσιν ἔνδον μία φωνὴ ῥηγνυμένη τέτταρας ἢ καὶ πέντε ἤχους ἀπεργάζεται.

1. δρώμενον Ω: corr. Diels sec. Ps.-Galenum | 3. δακτυλίου M: δακτύλιον Π

147 [Galenus] Historia philosophica 101, p. 638, 17-20 Diels:
Οἱ δὲ Στωικοὶ σῶμα εἶναι τὴν φωνήν. πᾶν γὰρ τὸ δρῶν ἢ ποιοῦν σῶμα εἶναι· καὶ γὰρ ἡ φωνὴ καὶ δρᾷ καὶ ποιεῖ, ἀκούομεν γὰρ αὐτῆς καὶ αἰσθα-

144 Lactantius, Divinae Inst. 7.7, 20:
Ὑπάρχουν οἱ ἐν Ἅιδῃ, δίδασκε ὁ Στωικὸς Ζήνων, καὶ ἕδρες τῶν εὐσεβῶν ποὺ ξεχωρίζουν ἀπὸ τοὺς ἀσεβεῖς: κι᾽ αὐτοὶ πράγματι κατοικοῦν σὲ ἥρεμες καὶ τερπνὲς χῶρες, ἐνῶ ἐκεῖνοι ἐξαγοράζουν τὶς ποινές των σὲ σκοτεινοὺς τόπους καὶ στὸν βόρβορο τρομερῶν βαράθρων.

5. Η ΦΩΝΗ ΚΑΙ Ο ΛΟΓΟΣ

145 Ἀέτιος, Περὶ ἀρεσκόντων 4.21, 4. (DG. p. 410-411):
Τὸ δὲ «φωνᾶεν», ποὺ ἔχει πεῖ ὁ Ζήνων, ποὺ τὸ λένε καὶ φωνὴ (ἐνν. οἱ Στωικοί), εἶναι πνοὴ ἀέρα ποὺ ἐκτείνεται ἀπὸ τὸ ἡγεμονικὸ ἕως τὸν φάρυγγα καὶ τὴ γλώσσα καὶ τὰ εἰδικὰ ὄργανα.

145α Διογένης Λαέρτιος 7.55:
Καὶ εἶναι ἡ φωνὴ ἀέρας, ποὺ πλήττεται ἢ τὸ ἰδιαίτερο χαρακτηριστικὸ τοῦ αἰσθητοῦ τῆς ἀκοῆς, ὅπως λέγει ὁ Διονύσιος ὁ Βαβυλώνιος στὸ βιβλίο του γιὰ τὴν τέχνη τῆς φωνῆς. Καὶ τοῦ ζώου ἡ φωνὴ εἶναι ἀέρας ποὺ πλήττεται ἀπὸ τὴν ὁρμή, ἐνῶ τοῦ ἀνθρώπου εἶναι ἔναρθρη καὶ ἐκπέμπεται ἀπὸ τὴ διάνοια, ὅπως λέει ὁ Διογένης. Αὐτὴ τελειοποιεῖται ἀπὸ τὴν ἡλικία τῶν δεκατεσσάρων.

145β Εὐσταθίου, Παρεκβολαὶ εἰς Ἰλιάδα, Σ 506 p. 1158, 37:
Κι᾽ ὅταν ὁ Ὅμηρος ὀνόμασε τοὺς κήρυκες «ἠεροφώνους» (αὐτοὺς ποὺ φωνάζουν μέσα στὸν ἀέρα), ὑπέβαλε τὸν ὁρισμὸ ἀπὸ πρὶν στὸν Ζήνωνα, ποὺ εἶπε: «ἡ φωνὴ εἶναι ἀέρας ποὺ ἔχει πληγεῖ».

146 Ἀέτιος, Περὶ ἀρεσκόντων 4.20, 2:
Οἱ Στωικοὶ θεωροῦσαν τὴ φωνὴ κάτι σωματικό· γιατὶ κάθε τι ποὺ δρᾶ ἢ ἐνεργεῖ εἶναι σωματικό, ἡ δὲ φωνὴ ἐνεργεῖ καὶ δρᾶ· γιατὶ τὴν ἀκοῦμε καὶ τὴν αἰσθανόμαστε, ὅταν προσπίπτει στὴν ἀκοή μας, ὅπως μιὰ δακτυλιδένια σφραγίδα πάνω στὸ κερί. Ἀκόμα κάθε τι ποὺ κινεῖ καὶ ἐνοχλεῖ εἶναι σωματικό· σὲ κίνηση ὅμως μᾶς θέτει ἡ εὐάρεστη μουσική, ἐνῶ ἡ ἄμουση μᾶς ἐνοχλεῖ. Ἀκόμα καὶ κάθε τι κινούμενο εἶναι σωματικό· ἡ φωνὴ ὅμως κινεῖται καὶ προσπίπτει σὲ λείους τόπους καὶ ἀντανακλᾶται ὅπως μιὰ μπάλα ποὺ κτυπᾶ πάνω στὸν τοῖχο· ὁπωσδήποτε μιὰ μοναδικὴ φωνή, ποὺ σπάει μέσα στὶς αἰγυπτιακὲς πυραμίδες, προκαλεῖ τέσσερις ἢ πέντε ἀντηχήσεις.

147 Γαληνός, Περὶ φιλοσόφου ἱστορίας 101, p. 638, 17-20 Diels:
Οἱ Στωικοὶ θεωροῦσαν τὴ φωνὴ κάτι σωματικό. Γιατὶ κάθε τι ποὺ δρᾶ ἢ ἐνεργεῖ εἶναι σωματικό· γιατὶ ἡ φωνὴ καὶ δρᾶ καὶ ἐνεργεῖ, ἀφοῦ τὴν

νόμεθα προσπιπτούσης· πᾶν τὸ κινοῦν καὶ ἐνοχλοῦν σῶμά ἐστιν· κηλεῖ δὲ ἡμᾶς εὔμουσος φωνή.

1. δρῶν ἢ π. Diels: δρὸν ἢ π. B: π. καὶ δρὸν A | 3-4. κηλεῖ-φωνὴ Diels: καλίδης ἡμᾶς κ μνούσα» φωνὴ A: om. B

147α Galenus, De placitis Hippocratis 2.5 (Kühn Vol. 5, p. 241):
Καὶ μὴν ὁ θαυμαζόμενος ὑπὸ τῶν Στωικῶν λόγος ὁ Ζήνωνος… ἔχει γὰρ ὧδε. φωνὴ διὰ φάρυγγος χωρεῖ. εἰ δὲ ἦν ἀπὸ τοῦ ἐγκεφάλου χωροῦσα, οὐκ ἂν διὰ φάρυγγος ἐχώρει. ὅθεν δὲ ὁ λόγος, καὶ φωνὴ ἐκεῖθεν χωρεῖ. λόγος δὲ ἀπὸ διανοίας χωρεῖ, ὥστ' οὐκ ἐν τῷ ἐγκεφάλῳ ἐστὶν ἡ διάνοια.

3. λόγος et φωνὴ locos inter se mutare non opus est - Cf. Galen. ibid. p. 204, 205 (huius operis II n. 894)

147β Galenus, De placitis Hippocratis 2.5 (Kühn vol. 5, p. 247):
Καὶ τοῦτο βούλεταί γε Ζήνων καὶ Χρύσιππος ἅμα τῷ σφετέρῳ χορῷ παντί, διαδίδοσθαι τὴν ἐκ τοῦ προσπεσόντος· ἔξωθεν ἐγγενομένην τῷ μορίῳ κίνησιν εἰς τὴν ἀρχὴν τῆς ψυχῆς, ἵν' αἴσθηται τὸ ζῷον.

2. ἐγγενομένην MA, ἐγγινομένην L

147γ Galenus, In Hippocratis de medici officina, vol. 18, B, p. 649 K:
Τῶν αἰσθήσεων ἁπάσαις τὴν γνώμην ἐφεξῆς ἔταξεν, ὅπερ ἐστὶ τὴν διάνοιαν, ἥν τε καὶ νοῦν καὶ φρένα καὶ λόγον κοινῶς οἱ ἄνθρωποι καλοῦσιν. ἐπεὶ δὲ καὶ τῶν κατὰ φωνήν ἐστί τις λόγος, ἀφορίζοντες οὖν τοῦτον τὸν προειρημένον λόγον οἱ φιλόσοφοι καλοῦσιν ἐνδιάθετον, ᾧ λόγῳ τά τε ἀκόλουθα καὶ τὰ μαχόμενα γιγνώσκομεν.

147δ Sextus Empiricus, Adversus Mathematicos 8.275:
Φασὶν ὅτι ἄνθρωπος οὐχὶ τῷ προφορικῷ λόγῳ διαφέρει τῶν ἀλόγων ζῴων (καὶ γὰρ κόρακες καὶ ψιττακοὶ καὶ κίτται ἐνάρθρους προσφέρονται φωνὰς) ἀλλὰ τῷ ἐνδιαθέτῳ οὐδὲ τῇ ἁπλῇ μόνον φαντασίᾳ, ἀλλὰ τῇ μεταβατικῇ καὶ συνθετικῇ.

148 Scholia vet. in Platonis Alcibiadem 1.121 e, p. 99 Greene:
«Δὶς ἑπτά»· τότε γὰρ ὁ τέλειος ἐν ἡμῖν ἀποφαίνεται λόγος, ὡς Ἀριστοτέλης καὶ Ζήνων καὶ Ἀλκμαίων ὁ Πυθαγόρειός φασιν.

149 Stobaeus, Eclogae 1.48, 8, p. 317 (ex Iamblicho):
Πάλιν τοίνυν περὶ τοῦ νοῦ καὶ πασῶν τῶν κρειττόνων δυνάμεων τῆς ψυχῆς οἱ μὲν Στωικοὶ λέγουσι μὴ εὐθὺς ἐμφύεσθαι τὸν λόγον, ὕστερον δὲ

ἀκοῦμε καὶ τὴν αἰσθανόμαστε, ὅταν προσπίπτει· κάθε τι ποὺ κινεῖ καὶ ἐνοχλεῖ εἶναι σῶμα· κι ἐμᾶς μᾶς γοητεύει ἡ εὐάρεστη μουσικὴ φωνή.

147α Γαληνός, Περὶ τῶν καθ' Ἱπ. 2.5:
Καὶ ὁ θαυμαζόμενος ἀπὸ τοὺς Στωικοὺς λόγους τοῦ Ζήνωνος: «Ἡ φωνὴ προχωρεῖ διὰ μέσου τοῦ φάρυγγος. Κι' ἂν περνοῦσε ἀπὸ τὸν ἐγκέφαλο, δὲν θὰ περνοῦσε ἀπὸ τὸν φάρυγγα. Ἀπ' ὅπου ὅμως ὁ λόγος, ἀπ' ἐκεῖ καὶ ἡ φωνὴ προχωρεῖ. Ὁ λόγος ὅμως προέρχεται ἀπὸ τὴ διάνοια, ὥστε δὲν βρίσκεται στὸν ἐγκέφαλο ἡ διάνοια.»

147β Γαληνός, Περὶ τῶν Καθ' Ἱπποκράτη 2.5:
Καὶ αὐτὸ θέλει ὁ Ζήνων καὶ ὁ Χρύσιππος μαζὶ μὲ ὅλη τὴ χορεία των, νὰ μεταδοθεῖ ἡ κίνηση, ποὺ γίνεται ἀπὸ τὸν ἐρεθισμό, ποὺ προσπίπτει ἀπ' ἔξω στὴν ἀρχὴ τῆς ψυχῆς (τὸ ἡγεμονικό), γιὰ νὰ αἰσθανθεῖ τὸ ζῶο.

147γ Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 18. B, p. 649 K:
Μετὰ ἀπ' ὅλες τὶς αἰσθήσεις στὴ σειρὰ ἔβαλε τὴ γνώμη, δηλαδὴ τὴ διάνοια, ποὺ τὴν ὀνομάζουν καὶ νοῦν καὶ φρένα καὶ λόγον οἱ ἄνθρωποι. Ἐπειδὴ δὲ καὶ ὁ λόγος ἀφορᾶ ὅσα ἐκφράζονται μὲ τὴ φωνή, ξεχωρίζοντας λοιπὸν αὐτὸν τὸν λόγο, ποὺ ἀναφέραμε πρίν, οἱ φιλόσοφοι τὸν ὀνομάζουν ἐνδιάθετο, μὲ τὸν ὁποῖο λόγο γνωρίζουμε καὶ αὐτὰ ποὺ εἶναι σύμφωνα μ' αὐτὸν κι' ἐκεῖνα ποὺ τὸν ἀντιμάχονται.

147δ Σέξτος Ἐμπειρικός, Πρὸς Μαθηματικοὺς 8.275:
…λένε ὅτι ὁ ἄνθρωπος δὲν διαφέρει ἀπὸ τὰ ἄλογα ζῶα μὲ τὸν προφορικὸ λόγο (γιατὶ καὶ οἱ κόρακες καὶ οἱ παπαγάλοι καὶ οἱ κίσσες προφέρουν ἔναρθρες φωνὲς) ἀλλὰ μὲ τὸν ἐνδιάθετο, οὔτε μὲ τὴν ἁπλὴ παράσταση μόνο, ἀλλὰ μὲ τὴ μεταβατικὴ καὶ τὴ συνθετική.

148 Σχόλια εἰς Πλάτωνος Ἀλκιβιάδην 1.121e, p. 99 Greene:
«Δυὸ φορὲς ἑπτά»· τότε φανερώνεται σὲ μᾶς ὁ τέλειος λόγος, ὅπως λένε ὁ Ἀριστοτέλης καὶ ὁ Ζήνων καὶ ὁ Ἀλκμαίων ὁ Πυθαγόρειος.

149 Στοβαῖος, Ἐκλογαὶ 1.48, 8, p. 317:
Πάλι καὶ γιὰ τὸν νοῦ καὶ γιὰ ὅλες τὶς ἀνώτερες δυνάμεις τῆς ψυχῆς οἱ μὲν Στωικοὶ λένε ὅτι δὲν φυτρώνει εὐθὺς μὲ τὴ γέννησή μέσα μας ὁ λόγος,

συναθροίζεσθαι ἀπὸ τῶν αἰσθήσεων καὶ φαντασιῶν περὶ δεκατέσσερα ἔτη.

150 Aetius, Placita 4.19, 4 = [Plutarchus], De placitis philosophorum 902 E:
Οἱ δὲ Στωικοί φασι τὸν ἀέρα μὴ συγκεῖσθαι ἐκ θραυσμάτων, ἀλλὰ συνεχῆ, δι' ὅλου μηδὲν κενὸν ἔχοντα· ἐπειδὰν δὲ πληγῇ πνεύματι, κυματοῦται κατὰ κύκλους ὀρθοὺς εἰς ἄπειρον, ἕως πληρώσῃ τὸν περικείμενον ἀέρα, ὡς ἐπὶ τῆς κολυμβήθρας τῆς πληγείσης λίθῳ· καὶ αὕτη μὲν κυκλικῶς κινεῖται ὁ δ' ἀὴρ σφαιρικῶς.

1. post συνεχῆ add. (εἶναι) edd. etiam Mau: om. Diels, Hülser 3. ἐπικείμενον M… fortasse recte» (Mau).

151 [Theodosius], De grammatica p. 17, 17-31 Göttling:
Μέρη δὲ τοῦ λόγου κατὰ τοὺς φιλοσόφους πέντε· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος καὶ ἄρθρον. Ὄνομά ἐστι μέρος λόγου σημαῖνον ⟨ἰδίαν ποιότητα, οἷον "Δίων". Προσηγορία ἐστὶ μέρος λόγου σημαῖνον⟩ κοινὴν ποιότητα, οἷον «ἄνθρωπος». Ῥῆμά ἐστι μέρος λόγου σημαῖνον ἄπτωτον κατηγόρημα. Σύνδεσμός ἐστι μέρος λόγου ἄπτωτον συνδοῦν τὰ μέρη τὰ λοιπὰ τοῦ λόγου. Ἄρθρον ἐστὶ μέρος λόγου πτωτικόν, διορίζον τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς. Παρέπεται δὲ τῷ λόγῳ πέντε· ἑλληνισμός, σαφήνεια, συντομία, πρέπον καὶ διασκευή. Ἰστέον δέ, ὅτι τὰ μέρη τοῦ λόγου καλοῦσιν οἱ φιλόσοφοι στοιχεῖα· ὥσπερ γὰρ τὰ στοιχεῖα ἀποτελοῦσι τὰς συλλαβάς, καὶ τὰ κοσμικὰ στοιχεῖα ἀποτελοῦσι τὰ ἀνθρώπινα σώματα καὶ τὰ ἄλλα, οὕτω καὶ ταῦτα συνερχόμενα ἀπαρτίζουσι τὸν λόγον.

1. Μέρη scripsi: Περὶ Göttling | 2-3. ⟨ἰδίαν-σημαῖνον⟩ add. Egli (viva voce), Hülser 4. ἄπτωτον] ἀσύνθετον Egli dubit. | 11. συνερχόμενα Hülser: ἀπερχόμενα Göttling

151α Dionysius Halicarnaseus, De Demosthenis dictione 48, p. 232 sq.:
Τοῖς πρώτοις μορίοις τῆς λέξεως, ἃ δὴ στοιχεῖα ὑπό τινων καλεῖται, εἴτε τρία ταῦτ' ἐστίν, ὡς Θεοδέκτῃ τε καὶ Ἀριστοτέλει δοκεῖ, ὀνόματα καὶ ῥήματα καὶ σύνδεσμοι, εἴτε τέτταρα, ὡς τοῖς περὶ Ζήνωνα τὸν Στωικόν, εἴτε πλείω, δύο ταῦτα ἀκολουθεῖ μέλος καὶ χρόνος ἴσα.

152 Diogenes Laertius 7.65:
Πλάγιαι δὲ πτώσεις εἰσὶ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική.

152α Ammonius, In Aristotelis De interpretione p. 42, 30 Busse:
Ἀποκρίνονται οἱ ἀπὸ τῆς Στοᾶς ὡς ἀπὸ τοῦ νοήματος τοῦ ἐν τῇ ψυχῇ καὶ αὕτη πέπτωκεν· ὃ γὰρ ἐν αὐτοῖς ἔχομεν τοῦ Σωκράτους νόημα δη-

ἀλλὰ συγκροτεῖται ἀργότερα ἀπὸ τὶς αἰσθήσεις καὶ τὶς παραστάσεις γύρω στὰ δεκατέσσερα χρόνια.

150 Ἀέτιος, Περὶ ἀρεσκόντων 4.19, 4:
Οἱ Στωικοὶ λένε ὅτι ὁ ἀέρας δὲν ἀποτελεῖται ἀπὸ θραύσματα, ἀλλὰ εἶναι συνεχὴς καὶ στὸ σύνολό του δὲν ἔχει κανένα κενό· κι' ὅταν πληγεῖ μὲ τὸ ρεῦμα μιᾶς πνοῆς, κινεῖται σὲ κύματα σύμφωνα μὲ ὀρθοὺς κύκλους στὸ ἄπειρο, ὥσπου νὰ γεμίσει ὁ ἀέρας ποὺ τὸν περιβάλλει, ὅπως ὅταν μιὰ πέτρα κτυπᾶ σὲ μιὰ κολυμβήθρα. Αὐτὴ βέβαια κινεῖται κυκλικά, ὁ ἀέρας ὅμως σφαιρικά.

151 Θεοδόσιος, Περὶ γραμματικῆς p. 17, 17-31 Göttling:
Τὰ μέρη τοῦ λόγου κατὰ τοὺς φιλοσόφους εἶναι πέντε· ὄνομα (κύριο), προσηγορικό, ρῆμα, σύνδεσμος καὶ ἄρθρο. Ὄνομα (κύριο) εἶναι μέρος τοῦ λόγου ποὺ σημαίνει μὰν ἀτομικὴ ἰδιότητα, ὅπως «Δίων». Οὐσιαστικὸ προσηγορικὸ εἶναι μέρος τοῦ λόγου ποὺ σημαίνει γενικὴ ἰδιότητα, ὅπως «ἄνθρωπος». Ρῆμα εἶναι μέρος τοῦ λόγου ποὺ σημαίνει ἕνα κατηγόρημα χωρὶς πτώση. Σύνδεσμος εἶναι μέρος τοῦ λόγου χωρὶς πτώση ποὺ συνδέει τὰ λοιπὰ μέρη τοῦ λόγου. Τὸ ἄρθρο εἶναι μέρος τοῦ λόγου, ποὺ δέχεται πτώση καὶ καθορίζει τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς. Συνοδευτικὰ γνωρίσματα τοῦ λόγου εἶναι πέντε: τὰ γνήσια ἑλληνικά, ἡ σαφήνεια, ἡ συντομία, ἡ πρέπουσα ἔκφραση καὶ ἡ σωστὴ διαμόρφωση. Ἐπίσης πρέπει νὰ γνωρίζουμε, ὅτι τὰ μέρη τοῦ λόγου οἱ φιλόσοφοι τὰ ὀνομάζουν στοιχεῖα. Γιατί, ὅπως τὰ στοιχεῖα ἀποτελοῦν τὶς συλλαβές, καὶ τὰ κοσμικὰ στοιχεῖα ἀποτελοῦν τὰ ἀνθρώπινα καὶ τὰ ἄλλα σώματα, ἔτσι κι' αὐτὰ συνερχόμενα ἀπαρτίζουν τὸν λόγο.

151α Διονύσιος Ἁλικαρνασσεύς, Περὶ Δημοσθένους λέξεως 48, p. 232 sq.:
Ἂν τὰ πρῶτα μέρη τοῦ λόγου, τὰ ὁποῖα ἀπὸ μερικοὺς καλοῦνται στοιχεῖα, εἴτε αὐτὰ εἶναι τρία, ὅπως φαίνεται στὸν Θεοδέκτη καὶ τὸν Ἀριστοτέλη, ὀνόματα καὶ ρήματα καὶ σύνδεσμοι, εἴτε τέσσερα, ὅπως νομίζουν μερικοὶ γύρω ἀπὸ τὸν Ζήνωνα τὸν Στωικό, εἴτε περισσότερα, ἀπ' αὐτὰ ἀκολουθοῦν ἐξ ἴσου δύο, τὸ μέλος καὶ ὁ χρόνος.

152 Διογένης Λαέρτιος 7.65:
Πλάγιες δὲ πτώσεις εἶναι ἡ γενική, ἡ δοτικὴ καὶ ἡ αἰτιατική.

152α Ἀμμώνιος, Περὶ ἑρμηνείας p. 42, 30 Busse:
Οἱ Στωικοὶ ἀπαντοῦν, ὅτι ἡ ἴδια ἡ ὀνομαστικὴ πτώση ἔχει πέσει ἀπὸ τὴ σκέψη, ποὺ εἶναι στὴν ψυχή. Γιατί, ὅταν θέλουμε νὰ ἐκφράσουμε τὴ

λῶσαι βουλόμενοι τὸ «Σωκράτης» ὄνομα προφερόμεθα· καθάπερ οὖν τὸ ἄνωθεν ἀφεθὲν γραφεῖον καὶ ὀρθὸν παγὲν πεπτωκέναι τε λέγεται καὶ τὴν πτῶσιν ὀρθὴν ἐσχηκέναι, τὸν αὐτὸν τρόπον καὶ τὴν εὐθεῖαν πεπτωκέναι μὲν ἀξιοῦμεν ἀπὸ τῆς ἐννοίας, ὀρθὴν δὲ εἶναι διὰ τὸ ἀρχέτυπον τῆς κατὰ τὴν ἐκφώνησιν προφορᾶς.

153 Diogenes Laertius 7.18:
Ἔφασκε δὲ (sc. ὁ Ζήνων) τοὺς μὲν τῶν ἀσολοίκων λόγους καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ· εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας, τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις εἰκῆ μὲν κεκομμένοις καὶ σολοίκως, καθέλκειν μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις.

1. pro καὶ scribendum esse τοὺς aut ante καὶ addendum ⟨καλοὺς⟩ coni. Reiske 6. λέξεις del. Wilamowitz

154 [Zonaras], Lexicon s.v. soloikizein, col. 1662:
Σολοικίζειν· οὐ μόνον τὸ κατὰ φωνὴν καὶ λόγον χωρικεύεσθαι, ἀλλὰ καὶ ἐπὶ ἐνδυμάτων ὅταν τις χωρικῶς ἐνδιδύσκηται ἢ ἀτάκτως ἐσθίῃ ἢ ἀκόσμως περιπατῇ, ὥς φησι Ζήνων.

155 Cyrillus, Lexicon s.v. soloikismos, Anecdota Graeca, Paris (ed. Cramer) Vol. 1, p. 190:
Σολοικισμός· ὅτε τις ἀτέχνως διαλέγεται· σολοικίζειν οὐ μόνον τὸ κατὰ λέξιν καὶ φωνὴν ἰδιωτεύειν, ἀλλὰ καὶ ἐπὶ φορημάτων, ὅταν τις χωρικῶς ἐνδέδυται ἢ ἀτάκτως ἐσθίει ἢ ἀκόσμως περιπατεῖ, ὥς φησι Ζήνων ὁ Κιτιεύς.

2. ἐπὶ φορ. v. Arnim, Hülser: ἐπιφορ. Cramer 3. ὡς v. Arnim, Hülser: ἢ ὡς Cramer

156 Diogenes Laertius 7.56-57 (SVF 3, Diogenes Babylonios 20):
Λέξις δέ ἐστι κατὰ τοὺς Στωικούς, ὥς φησιν ὁ Διογένης, φωνὴ ἐγγράμματος, οἷον «ἡμέρα».
Λόγος δέ ἐστι φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη ⟨οἷον "ἡμέρα ἐστί"⟩.
Διάλεκτος δέ ἐστι λέξις κεχαραγμένη ἐθνικῶς τε καὶ Ἑλληνικῶς· ἢ λέξις ποταπή, τουτέστι ποιὰ κατὰ διάλεκτον, οἷον κατὰ μὲν τὴν Ἀτθίδα «θάλαττα», κατὰ δὲ τὴν Ἰάδα «ἡμέρη».

σκέψη τοῦ Σωκράτη, ποὺ ἔχουμε μέσα μας, προφέρουμε τὸ ὄνομα τοῦ Σωκράτη (δηλ. τὸν Σωκράτη σὲ ὀνομαστικὴ πτώση). Ὅπως μιὰ πένα, ποὺ τὴν ἀφήσαμε ἀπὸ ψηλὰ καὶ στάθηκε ὀρθή, λέμε, ὅτι ἔχει πέσει καὶ ἡ πτώση της εἶναι ὀρθή, κατὰ τὸν ἴδιο τρόπο ἔχουμε τὴν ἀξίωση ἡ ὀνομαστικὴ (ἡ εὐθεία) πτώση νὰ ἔχει πέσει ἀπὸ τὴ σκέψη, ἀλλὰ εἶναι ὀρθὴ γιατὶ ἀποτελεῖ ἀρχέτυπο τῆς γλωσσικῆς ἔκφρασης.

153 Διογένης Λαέρτιος 7.18:
Ἔλεγε δὲ (ἐνν. ὁ Ζήνων), ὅτι ἐκεῖνοι ποὺ μιλοῦν χωρὶς σολοικισμοὺς (γραμματικὰ λάθη), ὅταν οἱ λόγοι τους εἶναι καὶ καλὰ συγκροτημένοι, μοιάζουν μὲ τὰ ἀργυρὰ ἀλεξανδρινὰ νομίσματα· γιατὶ εἶναι εὐάρεστοι στὰ μάτια καὶ περιχαραγμένοι καλὰ ὅπως τὸ νόμισμα, χωρὶς ὅμως γι' αὐτὸ νὰ εἶναι καλύτεροι. Τοὺς λόγους ὅμως τοῦ ἀντιθέτου εἴδους τοὺς συνέκρινε μὲ τὰ ἀττικὰ τετράδραχμα, ποὺ ἦταν μὲν κομμένα στὴν τύχη καὶ κατὰ τρόπο σόλοικο (λανθασμένο), στὸ βάρος ὅμως ὑπερέβαλλαν συχνὰ τοὺς καλλιγραμμένους τρόπους ἔκφρασης.

154 Ζωναρᾶς, Λεξικόν, ἐν λ. σολοικίζειν, col. 1662:
Σολοικίζειν δὲν σημαίνει μόνο νὰ συμπεριφέρεται κανεὶς στὴ φωνὴ καὶ στὸν λόγο ὅπως ἕνας χωρικός, ἀλλὰ καὶ ὡς πρὸς τὰ ἐνδύματα, ὅταν ντύνεται ὅπως ὁ χωρικὸς ἢ τρώει ἄτακτα καὶ περπατᾶ ἄκοσμα, ὅπως λέει ὁ Ζήνων.

155 Κύριλλος, Λεξικόν, ἐν λ. σολοικισμός, Anecdota Graeca, Paris (ed. Cramer) Vol. 1, p. 190:
Σολοικισμός· ὅταν κανεὶς διαλέγεται ἄτεχνα (γραμματικὰ λανθασμένα)· νὰ σολοικίζει κανεὶς δὲν σημαίνει μόνο νὰ ἰδιωτεύει σὲ ἄρθρωση καὶ σὲ ὕφος ἀλλὰ καὶ στὰ φορέματα, ὅταν ντύνεται ὅπως ὁ χωρικὸς ἢ ὅταν τρώει ἄτακτα καὶ περπατεῖ ἄκοσμα, ὅπως λέει ὁ Ζήνων ὁ Κιτιεύς.

156 Διογένης Λαέρτιος 7.56-57:
Λ έ ξ η εἶναι κατὰ τοὺς Στωικούς, ὅπως λέγει ὁ Διογένης, φωνὴ μὲ σημεῖα γραφῆς, ὅπως «ἡμέρα».
Λ ό γ ο ς δὲ εἶναι φωνή, ποὺ σημαίνει καὶ ἐκπέμπεται ἀπὸ τὴ διάνοια, ὅπως «εἶναι ἡμέρα.»
Δ ι ά λ ε κ τ ο ς δὲ εἶναι λέξη ποὺ ἔχει χαρακτήρα ἐθνικὸ καὶ Ἑλληνικό· ἢ λέξη ἀπὸ κάποιον τόπο, δηλαδὴ κάποιας λογῆς σύμφωνα μὲ μιὰ διάλεκτο, ὅπως σύμφωνα μὲ τὴν Ἀττικὴ «θάλαττα», σύμφωνα ὅμως μὲ τὴν Ἰωνικὴ «ἡμέρη».

Τῆς δὲ λέξεως στοιχεῖά ἐστι τὰ εἰκοσιτέσσαρα γράμματα – Φωνήεντα δέ ἐστι τῶν στοιχείων ἑπτά· α, ε, η, ι, ο, υ, ω.
Ἄφωνα δὲ ἕξ· β, γ, δ, π, κ, τ.
Διαφέρει δὲ φωνὴ καὶ λέξις, ὅτι φωνὴ μὲν καὶ ὁ ἦχός ἐστι, λέξις δὲ τὸ ἔναρθρον μόνον. λέξις δὲ λόγου διαφέρει, ὅτι λόγος ἀεὶ σημαντικός ἐστι, λέξις δὲ καὶ ἀσήμαντος, ὡς ἡ βλίτυρι, λόγος δὲ οὐδαμῶς, διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ καὶ λεκτὰ τυγχάνει.

156α Diogenes Laertius 7.57-58 (Diogenes Babylonios 21, 22):
Τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε, ὥς φησι Διογένης τε ἐν τῷ Περὶ φωνῆς καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον. – Ἔστι δὲ προσηγορία μέν, κατὰ τὸν Διογένην, μέρος λόγου σημαῖνον κοινὴν ποιότητα, οἷον «ἄνθρωπος» «ἵππος». Ὄνομα δέ ἐστι μέρος λόγου δηλοῦν ἰδίαν ποιότητα, οἷον Διογένης, Σωκράτης. Ῥῆμα δέ ἐστι μέρος λόγου σημαῖνον ἀσύνθετον κατηγόρημα, ὡς ὁ Διογένης, ἢ ὥς τινες, στοιχεῖον λόγου ἄπτωτον σημαῖνόν τι συντακτὸν περί τινος ἢ τινῶν, οἷον «γράφω» «λέγω». Σύνδεσμος δέ ἐστι μέρος λόγου ἄπτωτον, συνδοῦν τὰ μέρη τοῦ λόγου. Ἄρθρον δέ ἐστι στοιχεῖον λόγου πτωτικόν, διορίζον τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς· οἷον «ὁ, ἡ, τό, οἱ, αἱ, τά».

157 Stephanus, Scholia in Dionysii Thracis, p. 250, 26:



Τῆς δὲ λέξεως στοιχεῖα εἶναι τὰ εἰκοσιτέσσερα γράμματα.
Φωνήεντα δὲ εἶναι τὰ ἑπτὰ ἀπὸ τὰ στοιχεῖα· α, ε, η, ι, ο, υ, ω.
Ἄφωνα εἶναι ἓξι· β, γ, δ, π, κ, τ.
Διαφέρει δὲ ἡ φωνὴ ἀπὸ τὴ λέξη, γιατὶ ἡ φωνὴ εἶναι ἦχος, ἡ λέξη ὅμως μόνο εἶναι ἔναρθρη.
Ἡ λέξη ὡστόσο διαφέρει ἀπὸ τὸν λόγο, στὸ ὅτι ὁ λόγος σημαίνει κάτι, ἡ λέξη ὅμως μπορεῖ νὰ εἶναι καὶ χωρὶς σημασία, ὅπως «βλίτυρι», ὁ λόγος ὅμως ποτέ. Περαιτέρω διαφέρει τὸ νὰ λέγει κανεὶς ἀπὸ τοῦ νὰ βγάζει φωνές· διότι οἱ φωνὲς προφέρονται, ἐνῶ τὰ πράγματα λέγονται, αὐτὰ ποὺ ὀνομάζουμε λεκτά.

156α Διογένης Λαέρτιος 7.57-58:
Τὰ μέρη δὲ τοῦ λόγου εἶναι πέντε, ὅπως λέει ὁ Διογένης στὸ Περὶ τῆς φωνῆς καὶ ὁ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρο. Τὸ προσηγορικὸ (ὄνομα) εἶναι κατὰ τὸν Διογένη μέρος τοῦ λόγου, ποὺ σημαίνει κοινὴ ἰδιότητα, ὅπως «ἄνθρωπος», «ἵππος». Τὸ ὄνομα δὲ εἶναι μέρος τοῦ λόγου, ποὺ δηλώνει ἀτομικὴ ἰδιότητα, ὅπως Διογένης, Σωκράτης. Ῥῆμα εἶναι μέρος τοῦ λόγου ποὺ σημαίνει μὴ σύνθετο κατηγόρημα, ὅπως λέει ὁ Διογένης, ἢ ὅπως λένε μερικοί, στοιχεῖο πρότασης ποὺ εἶναι ἄκλιτο καὶ σημαίνει κάτι, τὸ ὁποῖο συντάσσεται μὲ κάτι ἢ κάποια πράγματα, ὅπως «γράφω», «λέγω». Ὁ σύνδεσμος δὲ εἶναι μέρος λόγου χωρὶς πτώση, ποὺ συνδέει τὰ μέρη τοῦ λόγου. Ἄρθρο δὲ εἶναι στοιχεῖο τοῦ λόγου μὲ πτώσεις, ποὺ καθορίζει τὰ γένη τῶν ὀνομάτων καὶ τοὺς ἀριθμούς, ὅπως «ὁ, ἡ, τό, οἱ, αἱ, τά.»

157 Στέφανος, Σχόλια εἰς Διονύσιον Θρᾷκα, p. 250, 26:
(Οἱ Στωικοὶ διέκριναν ὡρισμένους καὶ ἀόριστους χρόνους. Προκύπτει τὸ ἀκόλουθο διάγραμμα):



157α Scholia in Dionysii Thracis, Bekker, Anecd. Gr. 2, p. 891:
Τὸν ἐνεστῶτα οἱ Στωικοὶ ἐνεστῶτα παρατατικὸν ὁρίζονται, ὅτι παρατείνεται καὶ εἰς μέλλοντα· ὁ γὰρ λέγων «ποιῶ» καὶ ὅτι ἐποίησέ τι ἐμφαίνει καὶ ὅτι ποιήσει.

158 Diogenes Laertius 7.65:
Ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ, ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς Διαλεκτικοῖς ὅροις, «ἀξίωμά ἐστι τὸ ἀποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ, οἷον ἡμέρα ἐστί, Δίων περιπατεῖ.» ὠνόμασται δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι. Ὁ γὰρ λέγων Ἡμέρα ἐστίν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δέ, ψεῦδος.

158α Diogenes Laertius 7.66-68:
Διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα ⟨καὶ⟩ προστακτικὸν καὶ ὁρκικὸν καὶ ἀρατικὸν καὶ ὑποθετικὸν καὶ προσαγορευτικὸν καὶ πρᾶγμα ὅμοιον ἀξιώματι. Ἀξίωμα μὲν γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα, ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. Ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μὲν ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως, οἷον «ἆρά γ' ἡμέρα ἐστί;» Τοῦτο δὲ οὔτε ἀληθές ἐστιν οὔτε ψεῦδος· ὥστε τὸ μὲν «ἡμέρα ἐστὶν» ἀξίωμά ἐστι, τὸ δὲ «ἆρά γ' ἡμέρα ἐστίν;» ἐρώτημα. Πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, «ναί», ἀλλὰ ⟨δεῖ⟩ εἰπεῖν «οἰκεῖ ἐν τῷδε τῷ τόπῳ», προστακτικὸν δέ ἐστι πρᾶγμα, ὃ λέγοντες προτάσσομεν, οἷον·

«σὺ μὲν βάδιζε τὰς ἐπὶ Ἰνάχου ῥοάς».

*ὁρκικὸν**** ⟨προσαγορευτικὸν⟩ δέ ἐστι πρᾶγμα, ὃ εἰ λέγοι τις, προσαγορεύοι ἄν, οἷον*

«Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγαμέμνων.»

158β Diogenes Laertius 7.69-70:
(1) ἐν δὲ τοῖς ἁπλοῖς ἀξιώμασίν ἐστι τὸ ἀποφατικὸν καὶ τὸ ἀρνητικὸν καὶ τὸ στερητικὸν καὶ τὸ κατηγορικὸν καὶ τὸ καταγορευτικὸν καὶ τὸ ἀόριστον… (5) κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ κατηγορήματος, οἷον «Δίων περιπατεῖ». (6) καταγορευτικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος, οἷον «οὗτος περιπατεῖ»· (7) ἀόριστον δέ ἐστι τὸ συνεστὸς ἐξ ἀορίστου μορίου ἢ ἀορίστων μορίων ⟨καὶ κατηγορήματος⟩, οἷον «τὶς περιπατεῖ», «ἐκεῖνος κινεῖται».

157α Σχόλια εἰς Διον. Θρ., Bekker, Anecd. Gr. 2, p. 891:
Οἱ Στωικοὶ ὁρίζουν τὸν ἐνεστώτα ὡς ἐνεστώτα παρατατικόν, διότι παρατείνεται καὶ στὸν μέλλοντα· γιατὶ αὐτὸς ποὺ λέει «κάνω» δηλώνει καὶ ὅτι ἔκανε κάτι καὶ ὅτι θὰ τὸ κάνει.

158 Διογένης Λαέρτιος 7.65:
Πρόταση (ἀξίωμα) εἶναι αὐτὸ ποὺ εἶναι ἀληθινὸ ἢ ψευδὲς ἢ μιὰ αὐτοτελὴς κατάσταση, ποὺ μπορεῖ νὰ βεβαιωθεῖ, σ᾽ ὅ,τι ἀφορᾶ τὸν ἑαυτό της, ὅπως λέει ὁ Χρύσιππος στοὺς διαλεκτικούς του ὁρισμούς· «πρόταση (ἀξίωμα) εἶναι αὐτό, γιὰ τὸ ὁποῖο ἀποφαινόμαστε ἢ καταφάσκουμε σὲ ὅ,τι ἀφορᾶ τὸν ἑαυτό του, ὅπως “εἶναι ἡμέρα, ὁ Δίων περπατεῖ”». Ἔχει δὲ ὀνομασθεῖ τὸ ἀξίωμα ἀπὸ τὸ ἀξιώνω ἢ ἀθετῶ· γιατὶ αὐτὸς ποὺ λέει «εἶναι ἡμέρα», φαίνεται ὅτι ἔχει τὴν ἀξίωση νὰ εἶναι ἡμέρα. Ὅταν λοιπὸν εἶναι ἡμέρα, ἡ προκείμενη πρόταση εἶναι ἀληθινή· ὅταν δὲ ὄχι, εἶναι ψευδής.

158α Διογένης Λαέρτιος 7.66-68:
Διαφέρει δὲ ἡ (ἀποφαντικὴ) πρόταση (ἀξίωμα) ἀπὸ τὸ ἐρώτημα καὶ τὴν ἀγγελία καὶ τὴν (πρόταση) ποὺ ἐκφράζει προσταγή, ὅρκο καὶ εὐχὴ καὶ ὑπόθεση καὶ προσφώνηση καὶ ἔκφραση παρόμοια μὲ τὴν ἀποφαντικὴ πρόταση. Διότι «ἀξίωμα» μὲν εἶναι αὐτὸ ποὺ λέγοντάς το ἀποφαινόμαστε, αὐτὸ ποὺ εἶναι ἀληθινὸ ἢ ψευδές. Ἐρώτημα δὲ εἶναι ἔκφραση αὐτοτελὴς μέν, ὅπως καὶ τὸ ἀξίωμα, ποὺ ἀπαιτεῖ ὅμως μιὰν ἀπάντηση, ὅπως «ἄραγε εἶναι ἡμέρα;» Αὐτὸ δὲ δὲν εἶναι οὔτε ἀληθινὸ οὔτε ψεῦδος· ὥστε τὸ μὲν «εἶναι ἡμέρα» εἶναι ἀξίωμα, τὸ δὲ «ἄραγε εἶναι ἡμέρα;» εἶναι ἐρώτημα. Ἀγγελία δὲ εἶναι ἔκφραση, πρὸς τὴν ὁποία δὲν μπορεῖ μὲ σύμβολα νὰ δοθεῖ ἀπάντηση, ὅπως στὸ ἐρώτημα «ναί», ἀλλὰ (πρέπει) νὰ ποῦμε «κατοικεῖ σ᾽ αὐτὸν ἐδῶ τὸν τόπο». Προστακτικὴ δὲ πρόταση εἶναι ἔκφραση μὲ τὴν ὁποία λέγοντάς την προστάζουμε, ὅπως·

«ἐσὺ μὲν βάδιζε στὶς ροὲς τοῦ Ἰνάχου.»…

ὁρκική···· προσαγορευτικὴ δὲ πρόταση εἶναι ἔκφραση, κατὰ τὴν ὁποία, ὅ,τι λέγει κανείς, τὸ προσφωνεῖ, ὅπως

«Δοξασμένε Ἀτρείδη, βασιλιὰ τῶν ἀνδρῶν Ἀγαμέμνονα.»

158β Διογένης Λαέρτιος 7.69-70:
(1) Ἀνάμεσα στὰ ἁπλὰ ἀξιώματα εἶναι τὸ ἀρνητικό, τὸ ἀρνητικὸ βεβαιωτικό, τὸ στερητικό, τὸ κατηγορικὸ (βεβαιωτικό), τὸ δεικτικὸ καὶ τὸ ἀόριστο… (5) Κατηγορικὸ εἶναι αὐτὸ ποὺ συντίθεται ἀπὸ ὀρθὴ (ὀνομαστικὴ) πτώση καὶ κατηγόρημα, ὅπως «ὁ Δίων βαδίζει». (6) Δεικτικὸ εἶναι αὐτὸ ποὺ συντίθεται ἀπὸ ὀρθὴ (ὀνομαστικὴ) πτώση (ἀντωνυμία) δεικτικὴ καὶ κατηγόρημα, ὅπως «αὐτὸς ἐδῶ βαδίζει». (7) Ἀόριστο δὲ εἶναι αὐτὸ ποὺ συνίσταται ἀπὸ ἕνα ἀόριστο ἢ ἀόριστα μέρη (τοῦ λόγου) καὶ κατηγόρημα, ὅπως «κάποιος βαδίζει», «ἐκεῖνος κινεῖται».

158γ Diogenes Laertius 7.71-72:

(1) τῶν δ' οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστιν, ὡς ὁ Χρύσιππος ἐν ταῖς Διαλεκτικαῖς φησι καὶ Διογένης ἐν τῇ Διαλεκτικῇ τέχνῃ, τὸ συνεστὸς διὰ τοῦ «εἰ» συναπτικοῦ συνδέσμου. ἐπαγγέλλεται δ' ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, οἷον «εἰ ἡμέρα ἐστί, φῶς ἐστι». (2) παρασυνημμένον δέ ἐστιν, ὡς ὁ Κρῖνίς φησιν ἐν τῇ Διαλεκτικῇ τέχνῃ, ἀξίωμα ὃ ὑπὸ τοῦ «ἐπεὶ» συνδέσμου παρασυνῆπται ἀρχόμενον ἀπ' ἀξιώματος καὶ λῆγον εἰς ἀξίωμα, οἷον «ἐπεὶ ἡμέρα ἐστί, φῶς ἐστιν». ἐπαγγέλλεται δ' ὁ σύνδεσμος ἀκολουθεῖν τε τὸ δεύτερον τῷ πρώτῳ καὶ τὸ πρῶτον ὑφεστάναι. (3) συμπεπλεγμένον δέ ἐστιν ἀξίωμα ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπλέκεται, οἷον «καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι». (4) διεζευγμένον δέ ἐστιν ὃ ὑπὸ τοῦ «ἤτοι» διαζευκτικοῦ συνδέσμου διέζευκται, οἷον «ἤτοι ἡμέρα ἐστὶν ἢ νὺξ ἐστιν». ἐπαγγέλλεται δ' ὁ σύνδεσμος οὗτος τὸ ἕτερον τῶν ἀξιωμάτων ψεῦδος εἶναι. αἰτιῶδες δέ ἐστιν ἀξίωμα τὸ συντασσόμενον διὰ τοῦ «διότι», οἷον «διότι ἡμέρα ἐστὶ φῶς ἐστιν»· οἱονεὶ γὰρ αἴτιόν ἐστι τὸ πρῶτον τοῦ δευτέρου.

159 Sextus Empiricus, Adversus Mathematicos 8.11-12:

(1) ἦν δὲ καὶ ἄλλη τις παρὰ τούτοις διάστασις καθ' ἣν οἱ μὲν περὶ τῷ σημαινομένῳ τὸ ἀληθές τε καὶ ψεῦδος ὑπεστήσαντο, οἱ δὲ περὶ τὴ φωνῇ, οἱ δὲ περὶ τῇ κινήσει τῆς διανοίας. (2) καὶ δὴ τῆς μὲν πρώτης δόξης προεστήκασιν οἱ ἀπὸ τῆς Στοᾶς τρία φάμενοι συζυγεῖν ἀλλήλοις, τό τε σημαινόμενον καὶ τὸ σημαῖνον καὶ τὸ τυγχάνον, ὧν σημαῖνον μὲν εἶναι τὴν φωνήν, οἷον τὴν Δίων, σημαινόμενον δὲ αὐτὸ τὸ πρᾶγμα τὸ ὑπ' αὐτῆς δηλούμενον καὶ οὗ ἡμεῖς μὲν ἀντιλαμβανόμεθα τῇ ἡμετέρᾳ παρυφισταμένου διανοίᾳ, οἱ δὲ βάρβαροι οὐκ ἐπαΐουσι καίπερ τῆς φωνῆς ἀκούοντες, τυγχάνον δὲ τὸ ἐκτὸς ὑποκείμενον, ὥσπερ αὐτὸς ὁ Δίων. (3) τούτων δὲ δύο μὲν εἶναι σώματα καθάπερ τὴν φωνὴν καὶ τὸ τυγχάνον, ἓν δὲ ἀσώματον, ὥσπερ τὸ σημαινόμενον πρᾶγμα, καὶ λεκτόν, ὅπερ ἀληθές τε γίνεται ἢ ψεῦδος.

1-2. τῷ σημαινομένῳ Bekker: τὰ σημαινόμενα codd.

159α Seneca, Epistulae 117.13:

(1) «sunt» inquit «naturae corporum, tamquam hic homo est, his equus; has deinde sequuntur motus animorum enuntiativi corporum. (2) hi habent proprium quiddam et a corporibus seductum, tamquam video Catonem ambulantem: hoc sensus ostendit, animus credidit. corpus est quod video, cui et oculos intendi et animum. dico deinde:

158γ Διογένης Λαέρτιος 7.71-72:
(1) Ἀπὸ δὲ τὰ μὴ ἁπλᾶ ἀξιώματα ὑποθετικὰ εἶναι, ὅπως λέει ὁ Χρύσιππος στὰ Διαλεκτικά του συγγράμματα καὶ ὁ Διογένης στὴ Διαλεκτικὴ τέχνη, αὐτὰ ποὺ συντίθενται μὲ τὸν ὑποθετικὸ σύνδεσμο «εἰ». Ὁ σύνδεσμος αὐτὸς δηλώνει ὅτι τὸ δεύτερο ἀκολουθεῖ ἀπὸ τὸ πρῶτο, ὅπως «ἂν εἶναι ἡμέρα, εἶναι φῶς». (2) Συμπερασματικὸ δὲ εἶναι, ὅπως λέει ὁ Κρίνις στὴ Διαλεκτικὴ τέχνη, τὸ ἀξίωμα, τὸ ὁποῖο συνδέεται μὲ τὸν σύνδεσμο «ἐφ' ὅσον» ἀρχίζοντας ἀπὸ ἀξίωμα καὶ καταλήγοντας σὲ ἀξίωμα, ὅπως «ἐφ' ὅσον εἶναι ἡμέρα εἶναι φῶς». Ὁ σύνδεσμος αὐτὸς δηλώνει ὅτι τὸ δεύτερο ἀκολουθεῖ ἀπὸ τὸ πρῶτο καὶ τὸ πρῶτο εἶναι ἀληθινὸ (ὑφίσταται). (3) Συμπλεκτικὸ εἶναι τὸ ἀξίωμα, ποὺ συμπλέκεται μὲ τοὺς συμπλεκτικοὺς συνδέσμους, ὅπως «καὶ ἡμέρα εἶναι, καὶ φῶς εἶναι.» (4) Διαζευκτικὸ δὲ εἶναι τὸ ἀξίωμα ποὺ δηλώνει διάζευξη μὲ τὸν διαζευκτικὸ σύνδεσμο «ἢ» ὅπως «ἢ εἶναι ἡμέρα ἢ εἶναι νύκτα». Ὁ δὲ σύνδεσμος αὐτὸς δηλώνει ὅτι τὸ ἕνα ἀπὸ τὰ δύο ἀξιώματα εἶναι ψευδές. Αἰτιολογικὸ δὲ εἶναι τὸ ἀξίωμα ποὺ συντάσσεται μὲ τὸ «διότι», ὅπως «διότι εἶναι ἡμέρα, εἶναι φῶς». Γιατὶ μοιάζει νὰ εἶναι αἴτιο τὸ πρῶτο τοῦ δευτέρου.

159 Σέξτος Ἐμπειρικός, Πρὸς μαθηματικοὺς 8.11-12:
(1) Ὑπῆρχε καὶ ἄλλη διαφορὰ ἀπόψεων (μεταξὺ τῶν φιλοσόφων) ὡς πρὸς τὴν ἀλήθεια· μερικοὶ τοποθετοῦσαν τὴν ἀλήθεια καὶ τὸ ψεῦδος στὸ σημαινόμενο, ἄλλοι στὴ φωνητικὴ διατύπωση, ἄλλοι δὲ γύρω ἀπὸ τὴ διεργασία τῆς διάνοιας. (2) Τὴν πρώτη ἄποψη τὴν ὑπερασπίζονταν οἱ Στωικοί, ποὺ ἔλεγαν ὅτι τρία πράγματα βρίσκονται μεταξύ τους σὲ συζυγία, τὸ σημαινόμενο, τὸ σημαῖνον καὶ τὸ ὑπάρχον, ἀπὸ τὰ ὁποῖα σημαῖνον εἶναι ἡ φωνητικὴ διατύπωση (λέξη), ὅπως Δίων, σημαινόμενο τὸ ἴδιο τὸ πράγμα, ποὺ δηλώνεται ἀπ' αὐτὴν καὶ τὸ ὁποῖο ἀντιλαμβανόμαστε, καθὼς ὑφίσταται στὴ διάνοιά μας, καὶ ποὺ οἱ ξενόγλωσσοι δὲν καταλαβαίνουν, ἂν καὶ ἀκούουν τὴ φωνή, ὑπάρχον δὲ εἶναι τὸ ἐξωτερικὸ ἀντικείμενο, γιὰ παράδειγμα ὁ ἴδιος ὁ Δίων. (3) Ἀπ' αὐτὰ δὲ δύο εἶναι σώματα, ὅπως ἡ φωνητικὴ διατύπωση (λέξη) καὶ τὸ ὑπάρχον ἀντικείμενο, ἕνα ὅμως ἀσώματο, ὅπως εἶναι τὸ σημαινόμενο πράγμα, ποὺ εἶναι καὶ λεκτόν, τὸ ὁποῖο εἶναι ἀληθὲς ἢ ψευδές.

159α Seneca, Ep. 117.13:
(1) (Οἱ Στωικοὶ) λένε, ὅτι ὑπάρχουν σωματικὲς φύσεις, ὅπως αὐτὸς ὁ ἄνθρωπος, αὐτὸς ὁ ἵππος· αὐτὲς συνοδεύονται ἀπὸ κινήσεις τῆς σκέψης, ποὺ δηλώνουν κάτι γι' αὐτές. (2) Οἱ κινήσεις αὐτὲς ἔχουν ἕνα ἰδιαίτερο χαρακτηριστικό, ποὺ τὶς ξεχωρίζει ἀπὸ τὰ σωματικὰ ἀντικείμενα. Βλέπω π.χ. τὸν Κάτωνα νὰ βαδίζει: μοῦ τὸ ἀποκαλύπτει ἡ αἴσθηση τῆς ὅρασης, καὶ ὁ νοῦς μου τὸ πιστεύει. Αὐτὸ ποὺ βλέπω εἶναι ἕνα σῶμα καὶ σ' αὐτὸ τὸ σῶμα κατευθύνω τὰ μάτια καὶ τὸν νοῦ μου. Ἔπειτα λέω: «Ὁ Κάτων

‘Cato ambulat’. non corpus» inquit «est quod nunc loquor, sed enuntiativum quiddam de corpore, quod alii effatum vocant, alii enuntiatum, alii edictum. (3) sic cum dicimus ‘sapientiam’, corporale quiddam intellegimus; cum dicimus ‘sapit’, de corpore loquimur. plurimum autem interest utrum illud dicas an de illo».

7. *edictum φψ: dictum* B 9. *illud* ς: *illum* cod.

159β Anonymus, Commentarii in Aristotelis De interpretatione (Cod. Par. Gr. 2064) p. 3, 6-17 Tarán:

Οὐ δεῖ οἴεσθαι ἐπειδὴ εἶπεν τὸ ὄνομα ἀληθεύειν μετὰ τοῦ ἐστιν ἢ ἦν ἢ ἔσται ὅτι καὶ μετὰ παντὸς ῥήματος τοῦτο ποιοῦσιν· ἔστι γὰρ ὅτε συντάττεται κατηγορουμένως καὶ ποιεῖ αὐτοτελῆ λόγον, καί τινες τῶν φιλοσόφων τὰ μὲν συνταττόμενα τῷ ὀνόματι καὶ ποιοῦντα αὐτοτελῆ λόγον ἐκάλεσαν σύμβαμα, διὰ τὸ ἐπισυμβαίνειν, οἷον τὸ «Σωκράτης περιπατεῖ», τὸ δὲ συνταττόμενον τῇ εὐθείᾳ καὶ μὴ ποιοῦν αὐτοτελῆ λόγον ἐκάλουν ἔλαττον ἢ σύμβα⟨μα⟩, οἷον «Σωκράτης λευκὸς» (λείπει γὰρ τὸ ἔστιν ἢ οὐκ ἔστιν), τὸ δὲ συνταττόμενον πλαγίῳ τινὶ καὶ ποιοῦν αὐτοτελῆ λόγον ἐκάλουν παρασύμβαμα, οἷον «Σωκράτει μεταμέλει» (δηλοῦντος τοῦ λόγου ὅτι ἐν μεταμελείᾳ διάγει), τὸ δὲ συνταττόμενον πλαγίῳ καὶ μὴ ποιοῦν αὐτοτελῆ λόγον ἐκάλουν ἔλαττον ἢ παρασύμβαμα.

7. σύμβα⟨μα⟩ suppl. Tarán

6. ΠΕΡΙ ΠΟΙΗΣΕΩΣ

160 Cicero, De natura deorum 3.24, 63:

Magnam molestiam suscepit et minime necessarium primus Zeno post Cleanthes deinde Chrysippus, commenticiarum fabularum reddere rationem, vocabulorum cur quidque ita appellatum sit causas explicare.

160α Dio Chrysostomus, Orationes 53.4 sq.:

Γέγραφε δὲ καὶ Ζήνων ὁ φιλόσοφος εἴς τε τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν, καὶ περὶ τοῦ Μαργίτου δέ· δοκεῖ γὰρ καὶ τοῦτο τὸ ποίημα ὑπὸ Ὁμήρου γεγονέναι νεωτέρου καὶ ἀποπειρωμένου τῆς αὐτοῦ φύσεως πρὸς ποίησιν. ὁ δὲ Ζήνων οὐδὲν τῶν (τοῦ) Ὁμήρου ψέγει, ἅμα διηγούμενος καὶ διδάσκων ὅτι τὰ μὲν κατὰ δόξαν, τὰ δὲ κατὰ ἀλήθειαν γέγρα-

βαδίζει». Αὐτὸ ποὺ τώρα λέω δὲν εἶναι ἕνα σωματικὸ ἀντικείμενο, ἀλλὰ μιὰ ἔκφραση γιὰ τὸ σωματικὸ ἀντικείμενο, ποὺ μερικοὶ ὀνομάζουν πρόταση, ἄλλοι ἀξίωμα καὶ ἄλλοι λεκτόν. (3) Ἔτσι ὅταν λέμε «σοφία», ἐννοοῦμε κάτι σωματικό. Ὅταν ὅμως λέμε «αὐτὸς εἶναι σοφός», μιλοῦμε γιὰ κάτι σωματικό. Ἔχει πολὺ μεγάλη διαφορὰ ἀνάμεσα στὸ νὰ ἀναφέρεσαι ἄμεσα σὲ κάτι καὶ στὸ νὰ μιλᾶς γι' αὐτό.

159β Ἀνώνυμος, Σχόλια εἰς Ἀριστ. Περὶ ἑρμην. (Cod. Par. Gr. 2064) p. 3, 6-17 Tarán:
Δὲν πρέπει νὰ νομίζει κανείς, ἐπειδὴ ὁ Ἀριστοτέλης εἶπε ὅτι τὸ ὄνομα (στὴν ὀνομαστικὴ) σὲ συνδυασμὸ μὲ τὸ «εἶναι», «ἦταν» ἢ «θὰ εἶναι» ἀληθεύει, ὅτι τοῦτο τὸ κάνει μὲ κάθε ρῆμα· γιατὶ ὑπάρχει ἡ περίπτωση νὰ συντάσσεται μὲ κατηγόρημα καὶ νὰ ἀποτελεῖ αὐτοτελὴ λόγον, καὶ μερικοὶ ἀπὸ τοὺς φιλοσόφους ἐκεῖνα μέν, ποὺ συντάσσονται μὲ ὄνομα καὶ ἀποτελοῦν αὐτοτελῆ λόγον, χαρακτήρισαν ὡς «σύμβαμα» γιατὶ ἐπισυμβαίνει κάτι στὸ ὄνομα, ὅπως τὸ «ὁ Σωκράτης περπατᾶ», ἐνῶ αὐτό, ποὺ συντάσσεται μὲ τὴν ὀνομαστικὴ καὶ δὲν δίδει αὐτοτελὴ λόγο τὸ ὀνόμασαν λιγότερο ἀπὸ ἕνα σύμβαμα (μικρότερο ἀπὸ ἕνα προσωπικὸ αὐτοτελὲς κατηγόρημα), ὅπως «Σωκράτης λευκὸς» (γιατὶ τοῦ λείπει τὸ «εἶναι» ἢ τὸ «μὴ εἶναι»). Αὐτὸ ἀντίθετα ποὺ συντάσσεται μὲ πλάγια πτώση καὶ σχηματίζει αὐτοτελὴ λόγο τὸ ὀνόμαζαν «παρασύμβαμα», ὅπως «Σωκράτει μεταμέλει» (ὅπου ἡ πρόταση δηλώνει ὅτι στὸν Σωκράτη συμβαίνει μιὰ μεταμέλεια), ἐκεῖνο δὲ ποὺ συντάσσεται μὲ πλάγια πτώση καὶ δὲν ἀποτελεῖ αὐτοτελὴ λόγον τὸ ὀνόμαζαν μικρότερο ἀπὸ ἕνα παρασύμβαμα (μικρότερο ἀπὸ ἕνα ἀπρόσωπο αὐτοτελὲς κατηγόρημα).

6. ΠΕΡΙ ΠΟΙΗΣΕΩΣ

160 Cicero, De natura deor. 3.24, 63:
Πρῶτα ὁ Ζήνων, ὕστερα ὁ Κλεάνθης καὶ κατόπιν ὁ Χρύσιππος ἀνέλαβαν μεγάλο, ὄχι ὅμως ἀναγκαῖο, μόχθο, νὰ δώσουν σὲ ποιητικοὺς μύθους ἐπιστημονικὴ αἰτιολογία καὶ γιὰ κάθε λέξη νὰ ἐξηγήσουν τὶς αἰτίες, γιατί αὐτὸ νὰ καλεῖται ἔτσι.

160α Δίων ὁ Χρυσόστομος, Λόγοι 53.4 sq.:
Ἀκόμα καὶ ὁ Ζήνων ὁ φιλόσοφος ἔχει γράψει κάτι καὶ στὴν Ἰλιάδα καὶ στὴν Ὀδύσσεια, καὶ ἐκτὸς τούτου καὶ γιὰ τὸν Μαργίτη· εἶναι δηλ. τῆς γνώμης ὅτι τὸ ποίημα αὐτὸ ἔχει γίνει ἀπὸ τὸν Ὅμηρο, ὅταν ἦταν νεότερος καὶ δοκίμαζε τὸ φυσικό του χάρισμα γιὰ τὴν ποίηση. Ὁ δὲ Ζήνων δὲν ψέγει τίποτε ἀπὸ τὰ ἔργα τοῦ Ὁμήρου ἀναλύοντας καὶ διδάσκοντας συ-

φεν, ὅπως μὴ φαίνηται αὐτὸς αὑτῷ μαχόμενος ἔν τισι δοκοῦσιν ἐναντίως εἰρῆσθαι. (5) ὁ δὲ λόγος οὗτος Ἀντισθένους ἐστὶ πρότερον, ὅτι τὰ μὲν δόξῃ τὰ δὲ ἀληθείᾳ εἴρηται τῷ ποιητῇ· ἀλλ' ὁ μὲν οὐκ ἐξειργάσατο αὐτόν, ὁ δὲ καθ' ἕκαστον τῶν ἐπὶ μέρους ἐδήλωσεν. ἔτι δὲ καὶ Περσαῖος ὁ τοῦ Ζήνωνος κατὰ τὴν αὐτὴν ὑπόθεσιν γέγραφε καὶ ἄλλοι πλείους.

160β Strabo, Geographica 1.2, 34; C 41:

Περὶ δὲ τῶν Ἐρεμβῶν πολλὰ μὲν εἴρηται, πιθανώτατοι δ' εἰσὶν οἱ νομίζοντες τοὺς Ἄραβας λέγεσθαι. Ζήνων δ' ὁ ἡμέτερος καὶ γράφει οὕτως·

Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε (δ 84).

τὴν μὲν οὖν γραφὴν οὐκ ἀνάγκη κινεῖν, παλαιὰν οὖσαν.
αἰτιᾶσθαι δὲ βέλτιον τὴν τοῦ ὀνόματος μετάπτωσιν.

3. Σιδονίους καὶ Ἐρεμβοὺς Hom. Od. 4, 84

160γ Strabo, Geographica 7.3, 6; C 299:

Ὁ μὲν οὖν Ζήνων ὁ ἡμέτερος μεταγράφει οὕτως·

καὶ Σιδονίους Ἄραβάς τε.

πιθανώτερον δὲ Ποσειδώνιος γράφει τῷ παρὰ μικρὸν ἀλλάξαι·

καὶ Σιδονίους καὶ Ἀραμβούς.

4. Ἀραμβοὺς Corais: Ἐρεμβοὺς codd.

160δ Proclus, Ad Hesiod. Opera et dies 291 (fortasse ex Plutarcho):

Ζήνων ὁ Στωικὸς ἐνήλλαττε τοὺς στίχους λέγων·

κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πείθηται·
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτῷ πάντα νοήσῃ.
τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδούς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα.

160ε Cicero, De natura deorum 2.63-64:

Alia quoque ex ratione et quidem physica magna fluxit multitudo deorum, qui induti specie humana fabulas poetis suppeditaverunt, hominum autem vitam superstitione omni referserunt, atque hic locus a Zenone tractatus post a Cleanthe et Chrysippo pluribus verbis explicatus est. Nam vetus haec opinio Graeciam opplevit, esse exsectum Caelum a filio Saturno, vinctum autem Saturnum ipsum filio Iove:

νάμα, ὅτι ἄλλα μὲν τὰ ἔχει γράψει σύμφωνα μὲ τὴ γενικὰ ἐπικρατοῦσα γνώμη καὶ ἄλλα σύμφωνα μὲ τὴν ἀλήθεια, γιὰ νὰ μὴ φαίνεται, ὅτι αὐτὸς μάχεται τὸν ἑαυτό του σὲ μερικοὺς ποὺ νομίζουν ὅτι ἀντιφάσκει. (5) Ἡ θεωρία αὐτή, ὅτι ὁ ποιητὴς ἄλλα μὲν τὰ ἔχει πεῖ σύμφωνα μὲ τὴ γνώμη καὶ ἄλλα σύμφωνα μὲ τὴν ἀλήθεια, ἀπαντὰ πιὸ πρὶν στὸν Ἀντισθένη· ὡστόσο αὐτὸς δὲν τὴν ἐπεξεργάστηκε, ἐνῶ ὁ Ζήνων τὴν ἐπεξήγησε σὲ κάθε ἐπὶ μέρους περίπτωση. Ἀκόμα καὶ ὁ Περσαῖος, ὁ μαθητὴς τοῦ Ζήνωνος, ἔχει γράψει σύμφωνα μ' αὐτὴν τὴν ὑπόθεση καὶ ἄλλοι πολλοὶ συγγραφεῖς.

160β Στράβων, Γεωγραφικὰ 1.2, 34, C 41:
Γιὰ τοὺς Ἐρεμβοὺς πολλὰ ἔχουν λεχθεῖ, κατὰ πάσαν πιθανότητα ὅμως ἔχουν δίκαιο αὐτοὶ ποὺ νομίζουν, ὅτι ἐννοοῦνται οἱ Ἄραβες. Ὁ δὲ Ζήνων ὁ δικός μας γράφει μάλιστα ἔτσι.
Ἔφθασα στοὺς Αἰθίοπες καὶ τοὺς Σιδόνιους καὶ τοὺς Ἄραβες (δ 84).
Νὰ ἀλλάξουμε τὸ κείμενο δὲν εἶναι βέβαια ἀναγκαῖο, γιατὶ εἶναι παλαιό. Εἶναι καλύτερα νὰ θεωροῦμε ὡς αἰτία, ὅτι ἐν τῷ μεταξὺ ἔχει ἀλλάξει τὸ ὄνομά τους.

160γ Στράβων, Γεωγραφικὰ 7.3, 6, C 299:
Ὁ μὲν Ζήνων λοιπὸν ὁ δικός μας μεταγράφει τὸ κείμενο ὡς ἑξῆς:
καὶ τοὺς Σιδονίους καὶ τοὺς Ἄραβες.
Πιὸ πειστικὰ δὲ γράφει ὁ Ποσειδώνιος μὲ μιὰ ἐλάχιστη ἀλλαγή:
καὶ τοὺς Σιδονίους καὶ τοὺς Ἀραμβούς.

160δ Πρόκλος, Σχόλια εἰς Ἡσιόδου Ἔργα καὶ Ἡμέρας, 291 (ἐκ τοῦ Πλουτάρχου):
Ὁ Ζήνων ὁ Στωικὸς ἄλλαζε τὴ σειρὰ τῶν στίχων λέγοντας
«κι' ἐκεῖνος πάνω ἀπ' ὅλους ἄριστος ποὺ πείθεται σ' ὅποιον μιλᾶ σωστά,
λαμπρὸς ὅμως κι' αὐτὸς ποὺ μόνος του τὰ πάντα θὰ ἐννοήσει»
δίνοντας τὰ πρωτεῖα στὴν εὐπείθεια καὶ στὴ φρόνηση τὰ δευτερεῖα.

160ε Cicero, De nat. deor. 2.63-64:
Ἀκόμα πρέπει νὰ ἀναχθοῦν σὲ μιὰν ἄλλην αἰτία ὅπως τὴ συλλαμβάνει ἡ φιλοσοφία τῆς φύσεως, ἕνα πλῆθος θεῶν, ποὺ ντυμένοι μὲ ἀνθρώπινη μορφὴ ἔχουν προσφέρει στοὺς ποιητὲς τὸ ὑλικὸ γιὰ τοὺς μύθους των, ἀλλὰ ἔχουν γεμίσει καὶ τὴ ζωὴ τῶν ἀνθρώπων μὲ κάθε λογῆς δεισιδαιμονίες. Ἤδη ὁ Ζήνων ἔχει καταγίνει μὲ τὸ θέμα αὐτὸ καὶ ἀργότερα αὐτὸ τὸ παρουσίασε ὁ Κλεάνθης καὶ ὁ Χρύσιππος πιὸ διεξοδικά. Σ' ὅλη τὴν Ἑλλάδα εἶναι διαδεδομένη ἡ πανάρχαιη πίστη, ὅτι ὁ οὐράνιος θεὸς Οὐρανὸς εὐνουχίστηκε ἀπὸ τὸν γιό του Κρόνο κι' ὁ Κρόνος ὁ ἴδιος ρίχτηκε

(64) physica ratio non inelegans inclusa est in impias fabulas. caelestem enim altissimam aetheriamque naturam id est igneam, quae per sese omnia gigneret, vacare voluerunt ea parte corporis quae coniunctione alterius egeret ad procreandum. Saturnum autem eum esse voluerunt qui cursum et conversionem spatiorum ac temporum contineret. qui deus Graece id ipsum nomen habet: Κρόνος enim dicitur, qui est idem χρόνος id est spatium temporis. Saturnus autem est appellatus quod saturaretur annis; ex se enim natos comesse fingitur solitus, quia consumit aetas temporum spatia annisque praeteritis insaturabiliter expletur. vinctus autem a Iove, ne inmoderatos cursus haberet, atque ut eum siderum vinclis alligaret, sed ipse Iuppiter, id est iuvans pater, quem conversis casibus appellamus a iuvando Iovem, a poetis «pater divomque hominumque» dicitur, a maioribus autem nostris optumus maxumus, et quidem ante optimus id est beneficentissimus quam maximus, quia maius est certeque gratius prodesse omnibus quam opes magnas habere…

2. *indutit* det., ed. Romana 1471: *inducti* AVB 5. *opplevit* esse Heindorf: *opplevisset* AV^1B: *-vit* P.: *-vit* sed V^2 7. *caelestem* V^2 B^c, 16. *p. quem «eundem»* vel. *p. itemque* coni. Plasberg

σὲ δεσμὰ ἀπὸ τὸν γιό του Δία: (64) Ἐδῶ ἔχει κλείσει κανεὶς μιὰ ἔξυπνη σκέψη τῆς φιλοσοφίας τῆς φύσης μέσα σὲ ἀποτρόπαιους μύθους. Γιατὶ ἤθελε τὸ οὐράνιο, ὕψιστο καὶ αἰθέριο, δηλ. τὸ πύρινο (στοιχεῖο) τῆς φύσης, ποὺ γεννᾶ ἀπὸ μέσα του τὰ πάντα, νὰ εἶναι ἐλεύθερο ἀπὸ τὸ σωματικὸ μέλος, ποὺ γιὰ τὸν πολλαπλασιασμὸ χρειάζεται τὴν ἕνωση μὲ κάτι ἄλλο. Μὲ τὸν Κρόνο ὡστόσο θὰ πρέπει νὰ νοεῖται ὁ θεός, ποὺ κυριαρχεῖ πάνω στὴν πορεία καὶ τὴν ἀλλαγὴ τῶν ἐποχῶν τοῦ ἔτους. Ἀκριβῶς αὐτὸ τὸ ὄνομα ἔχει ὁ θεὸς στὰ Ἑλληνικά· ὀνομάζεται δηλ. *Κρόνος*, ποὺ εἶναι τὸ ἴδιο ὅπως *χρόνος*, δηλ. «χρονικὸ διάστημα». (Στὰ Λατινικὰ) ὀνομάζεται ἀντίθετα Saturnus, γιατὶ μὲ τὰ χρόνια saturnatur (χορταίνει)· σύμφωνα μὲ τὸν μύθο συνηθίζει δηλ. νὰ τρώει τὰ παιδιά του, πράγμα ποὺ ἀνάγεται στὸ ὅτι ὁ χρόνος καταβροχθίζει τὰ χρονικὰ διαστήματα καὶ (ἀχόρταγα) γεμίζει μὲ τὰ παρελθόντα χρόνια (τὸ στομάχι) του. Ὁ Δίας ὅμως τὸν ἔβαλε σὲ δεσμά, γιὰ νὰ μὴν καταστοῦν τὰ χρονικὰ διαστήματα ἀκανόνιστα, καὶ γιὰ νὰ στερεώσει ὁ Δίας αὐτόν, δηλ. τὸν χρόνο, μὲ τὰ δεσμὰ τῶν ἀστρικῶν περιόδων. Ὁ ἴδιος ὁ Δίας, δηλ. ὁ βοηθῶν πατέρας (iuvans pater), τὸν ὁποῖο μὲ τὴν πλαγία πτώση ἀπὸ τὸ βοηθεῖν (iuvare) τὸν δηλώνουμε μὲ τὴ λέξη iuvando Jovem, χαρακτηρίζεται ἀπὸ τοὺς ποιητὲς ὡς «πατέρας τῶν θεῶν καὶ τῶν ἀνθρώπων», ἀπὸ τοὺς προγόνους μας ὡστόσο ὡς «ὁ πιὸ καλὸς καὶ ὁ πιὸ μεγάλος», ὅπου ὁ χαρακτηρισμὸς «ὁ πιὸ καλός», δηλ. ὁ πιὸ ἀγαθοποιός, προηγεῖται τοῦ χαρακτηρισμοῦ «ὁ πιὸ μεγάλος» γιὰ τὸν λόγο ὅτι εἶναι μεγαλύτερος καὶ σίγουρα πιὸ ἀξιαγάπητος πρὸς ὄφελος ὅλων, παρὰ γιὰ τὸ ὅτι κατέχει μεγάλα πλούτη…

Γ. ΤΟ ΦΥΣΙΚΟ

1. Η ΕΝΝΟΙΑ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΑΙ ΤΟΥ ΟΝΤΟΣ

α. Τὸ ποιοῦν καὶ τὸ πάσχον. Ὁ λόγος καὶ ἡ ὕλη (161-163)

161 Diogenes Laertius 7.134:
Δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον τὸν θεόν· τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς δημιουργεῖν ἕκαστα. τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων μὲν ὁ Κιτιεὺς ἐν τῷ Περὶ οὐσίας, Κλεάνθης δ' ἐν τῷ Περὶ τῶν ἀτόμων, Χρύσιππος δ' ἐν τῇ πρώτῃ τῶν Φυσικῶν πρὸς τῷ τέλει, Ἀρχέδημος δ' ἐν τῷ Περὶ στοιχείων καὶ Ποσειδώνιος ἐν τῷ δευτέρῳ τοῦ Φυσικοῦ λόγου. διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγεννήτους ⟨καὶ⟩ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. ἀλλὰ καὶ σώματα εἶναι τὰς ἀρχὰς καὶ ἀμόρφους, τὰ δὲ μεμορφῶσθαι.

8. ⟨καὶ⟩ add. Stephanus e Suda ‖ 9. σώματα BFP. Gigante dubit. Vol. II p. 538 n. 162. Hülser: ἀσωμάτους Lipsius e Suda (s.v. ἀρχή, Vol. I. p. 373 n. 4092 Adler) Long

161α Calcidius, In Platonis Timaeum c. 290:
Plerique tamen silvam separant ab essentia, ut Zeno et Chrysippus. Silvam quippe dicunt esse id quod est sub his omnibus quae habent qualitates, essentiam vero primam rerum omnium silvam vel antiquissimum fundamentum earum, suapte natura sine vultu et informem, ut puta aes aurum ferrum cetera huius modi silva est eorum quae ex isdem fabrefiunt, non tamen essentia; at vero quod tam his quam ceteris ut sint causa est, ipsum esse substantiam.

161β Diogenes Laertius 7.150:
Οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην, ὡς καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν Φυσικῶν καὶ Ζήνων. ὕλη δέ ἐστιν ἐξ ἧς ὁτιδηποτοῦν γίνεται. καλεῖται δὲ διχῶς, οὐσία τε καὶ ὕλη, ἥ τε τῶν πάντων καὶ ἡ τῶν ἐπὶ μέρους. ἡ μὲν οὖν τῶν ὅλων οὔτε πλείων οὔτ' ἐλάττων γίνεται, ἡ δὲ τῶν ἐπῖ μέρους ⟨καὶ πλείων καὶ ἐλάττων⟩. σῶμα δέ ἐστι κατ' αὐτοὺς ἡ οὐσία, καὶ πεπερασμένη καθά φησιν Ἀντίπατρος ἐν δευτέρῳ Περὶ οὐσίας καὶ Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ· καὶ παθητὴ δέ ἐστιν, ὡς ὁ αὐτός φησιν· εἰ γὰρ ἦν ἄτρεπτος, οὐκ ἂν τὰ γινόμενα ἐξ αὐτῆς ἐγίνετο· ἔνθεν

Γ. ΤΟ ΦΥΣΙΚΟ

1. Η ΕΝΝΟΙΑ ΤΟΥ ΣΩΜΑΤΟΣ ΚΑΙ ΤΟΥ ΟΝΤΟΣ

α. Τὸ ποιοῦν καὶ τὸ πάσχον. Ὁ λόγος καὶ ἡ ὕλη (161-163)

161 Διογένης Λαέρτιος 7.134:
Αὐτοὶ λοιπὸν διδάσκουν, ὅτι οἱ ἀρχὲς τῶν ὅλων εἶναι δύο, τὸ ποιοῦν καὶ τὸ πάσχον. Καὶ τὸ μὲν πάσχον εἶναι ἡ χωρὶς ποιότητα οὐσία, ἡ ὕλη, τὸ δὲ ποιοῦν εἶναι ὁ λόγος μέσα της, ὁ θεός· αὐτὸς δηλ. ὄντας αἰώνιος δημιουργεῖ τὸ κάθε τι στὴν ὅλη περιοχὴ τῆς ὕλης. Αὐτὴ τὴ διδασκαλία ἐκθέτει ὁ Ζήνων ὁ Κιτιεὺς στὸ σύγγραμμά του «Περὶ οὐσίας», ὁ Κλεάνθης στὸ «Περὶ τῶν ἀτόμων», ὁ Χρύσιππος στὸ πρῶτο βιβλίο τῶν «Φυσικῶν» του πρὸς τὸ τέλος, ὁ Ἀρχέδημος δὲ στὸ «Περὶ στοιχείων» καὶ ὁ Ποσειδώνιος στὸ δεύτερο βιβλίο τοῦ «Φυσικοῦ λόγου». Λένε ἐπίσης ὅτι διαφέρουν οἱ ἀρχὲς ἀπὸ τὰ στοιχεῖα· γιατὶ οἱ μὲν ἀρχὲς εἶναι ἀγέννητες καὶ ἄφθαρτες, ἐνῶ τὰ στοιχεῖα κατὰ τὴν ἐκπύρωση φθείρονται. Ἐκτὸς ἀπ' αὐτὸ οἱ ἀρχὲς εἶναι σώματα καὶ ἄμορφες, ἐνῶ τὰ στοιχεῖα διαθέτουν μορφή.

161α Calcidius, In Platonis Timaeum c. 290:
Ὡστόσο οἱ περισσότεροι χωρίζουν τὴν ὕλη ἀπὸ τὴν οὐσία, ὅπως ὁ Ζήνων καὶ ὁ Χρύσιππος. Λένε δηλαδὴ ὅτι ἡ ὕλη εἶναι αὐτό, ποὺ εἶναι κάτω ἀπὸ ὅλα ὅσα ἔχουν ἰδιότητες, ἡ οὐσία ὅμως εἶναι ἡ πρώτη ὕλη ὅλων τῶν πραγμάτων ἢ τὸ πρωταρχικό τους θεμέλιο καὶ σύμφωνα μὲ τὴ φύση της χωρὶς μορφὴ καὶ χωρὶς καθορισμένες ἰδιότητες· ἔτσι εἶναι π.χ. ὁ χαλκός, ὁ χρυσός, τὸ σίδερο καὶ ὅλα τὰ ἄλλα τοῦ εἴδους αὐτοῦ ἡ ὕλη τῶν πραγμάτων, ἀπὸ τὰ ὁποῖα κατασκευάζονται, ὄχι ὅμως ἡ οὐσία των. Αὐτὴ ὅμως, ποὺ γιὰ τὰ πράγματα αὐτὰ καθὼς καὶ γιὰ τὰ ἄλλα, εἶναι ἡ αἰτία τῆς ὕπαρξης, αὐτὴ εἶναι ἡ οὐσία.

161β Διογένης Λαέρτιος 7.150:
Οὐσία ὅλων τῶν ὄντων θεωροῦν τὴν πρώτη ὕλη, ὅπως καὶ ὁ Χρύσιππος στὴν πρώτη (μελέτη) τῶν Φυσικῶν καὶ ὁ Ζήνων. Ὕλη δὲ εἶναι αὐτή, ἀπ' ὅπου γίνεται ὁτιδήποτε. Μὲ δυὸ τρόπους καλεῖται ὅμως ἡ οὐσία καὶ ἡ ὕλη, ἀφενὸς αὐτὴ ποὺ ἀναφέρεται σὲ ὅλα, ἀφετέρου ἐκείνη ποὺ ἀναφέρεται στὰ ἐπὶ μέρους. Αὐτὴ τῶν ὅλων δὲν γίνεται οὔτε περισσότερη οὔτε λιγότερη, ἐνῶ αὐτὴ τῶν ἐπὶ μέρους (γίνεται καὶ περισσότερη καὶ λιγότερη). Κατ' αὐτοὺς δὲ ἡ οὐσία εἶναι σῶμα καὶ εἶναι πεπερασμένη, ὅπως λέει ὁ Ἀντίπατρος στὸ δεύτερο βιβλίο του Περὶ οὐσίας καὶ ὁ Ἀπολλό-

κἀκ⟨ολουθ⟩εῖν ὡς ἥ τε τομὴ εἰς ἄπειρόν ἐστιν. (ἦν ἄπειρόν φησιν ὁ Χρύσιππος· οὐ γάρ ἐστί τι ἄπειρον, εἰς ὃ γίνεται ἡ τομή. ἀλλ' ἀκατάληκτός ἐστι.)

2. ὁτιδήποτοῦν dg: ὁδηποτοῦν BFP | 5. lac. indic. t. suppl. Stephanus 9. κἀκ⟨ολουθ⟩εῖν ὡς v. Arnim: κἀκεῖνος BP: κἀκείνως F: κἀκεῖνο dg | ἦν ἄπειρον ⟨οὐκ εἰς ἄπειρον⟩ φησιν v. Arnim, Long

161γ Calcidius, In Platonis Timaeum: 292:
(1) Zeno hanc ipsam essentiam finitam esse dicit unamque eam communem omnium quae sunt esse substantiam, (2) dividuam quoque et usque quaque mutabilem. (3) partes quippe eius verti sed non interire, ita ut de existendibus consumantur in nihilum. sed ut innumerabilium diversarum etiam cerearum figurarum, sic neque formam neque figuram nec ullam omnino qualitatem propriam fore censet fundamenti rerum omnium silvae, coniunctam tamen esse semper et inseparabiliter cohaerere alicui qualitate. (4) cumque tam sine ortu sit quam sine interitu, quia neque de non existente substitit nec consumetur in nihilum, non deesse si spiritum ac vigorem ex aeternitate, qui moveat eam rationabiliter totam interdum, non numquam pro portione.

161δ Epiphanius, Adversus haeres. 1.5.1 (Diels p. 558):
Φάσκει δ' οὖν καὶ αὐτὸς [ὁ Ζήνων] τὴν ὕλην σύγχρονον καλῶν τῷ θεῷ, ἴσα ταῖς ἄλλαις αἱρέσεσιν, εἱμαρμένην τε εἶναι καὶ γένεσιν, ἐξ ἧς τὰ πάντα διοικεῖται καὶ πάσχει.

162 Cicero, Academica post. 1.11, 39:
Discrepabat etiam ab isdem (sc. Zeno a Peripateticis et Academicis), quod nullo modo arbitrabatur quicquam effici posse ab ea quae expers esset corporis… nec vero aut quod efficeret aliquid aut quod efficeretur posse esse non corpus.

162α Alexander Aphrodisias, In Aristotelis De sensu p. 73, 18-21:
Μάθοι δ'ἄν τις ἐκ τούτων τὴν 'Αριστοτέλους δόξαν περὶ τῶν ποιούντων τε καὶ πασχόντων. οὔτε γὰρ τὰ σώματα αὐτῷ δοκεῖ ποιεῖν τε καὶ πάσχειν, ὡς ἀρέσκει τοῖς ἀπὸ Στοᾶς, οὔτε πάλιν τὰ ἀσώματα, ὡς ἐδόκει τοῖς περὶ Πλάτωνα, ἀλλά…

162β Eusebius, Praeparatio evangelica 15.14:
Στοιχεῖον εἶναί φασι τῶν ὄντων τὸ πῦρ, καθάπερ Ἡράκλειτος· τούτου δ'

δωρος στὴ Φυσική. Καὶ μπορεῖ νὰ πάσχει, ὅπως λέει αὐτός· γιατί, ἂν ἦταν ἀμετάτρεπτη, δὲν θὰ γίνονταν ἀπ' αὐτὴ ὅσα γίνονται· ἐξ αὐτοῦ ἀκολουθεῖ, ὅτι ἡ τομή της εἶναι ἐπ' ἄπειρον. (Ὁ Χρύσιππος θεωρεῖ τὴν κατάτμηση ἄπειρη· γιατὶ δὲν ὑπάρχει κάτι ἄπειρο, στὸ ὁποῖο τείνει ἡ τομή, ἀλλὰ εἶναι ἀκατάληκτη.)

161γ Calcidius, In Platonis Timaeum 292:
(1) Ὁ Ζήνων λέει ὅτι ἡ οὐσία ἡ ἴδια εἶναι πεπερασμένη καὶ ὅτι εἶναι τὸ ἕνα κοινὸ ὑποκείμενο (substantia) ὅλων ὅσα ὑπάρχουν. (2) Καὶ ὅτι εἶναι διαιρετὴ καὶ συνεχῶς ὑποκείμενη στὴ μεταβολή. (3) Τὰ μέρη της μεταβάλλονται ἀλλὰ δὲν φθείρονται, ὥστε νὰ καταστραφοῦν ἀπὸ τὴν ὕπαρξη στὸ τίποτε. Ἀλλὰ ὅπως συμβαίνει καὶ μὲ τὰ ἀναρίθμητα διάφορα σχήματα τοῦ κεριοῦ, ἔτσι σκέπτεται ὅτι δὲν θὰ ὑπάρχει μορφὴ ἢ σχῆμα ἢ ὁποιαδήποτε ποιότητα ποὺ νὰ εἶναι ἰδιάζουσα, ὥστε νὰ ταιριάζει νὰ ἀποτελεῖ θεμέλιο ὅλων τῶν πραγμάτων· ὡστόσο εἶναι πάντα ἑνωμένη καὶ ἀχώριστα συνδεδεμένη μὲ τὴ μιὰ ἢ τὴν ἄλλη ποιότητα. (4) Καὶ ἐφ' ὅσον εἶναι ἐξ ἴσου χωρὶς γένεση καὶ φθορά, ἀφοῦ δὲν προκύπτει ἀπὸ κάτι μὴ ὑπάρχον καὶ δὲν θὰ χαθεῖ σ' ἕνα τίποτε, δὲν τῆς λείπει ἡ πνοὴ καὶ ἡ ζωντάνια ἀπὸ τὴν αἰωνιότητα, γιὰ νὰ τὴ θέσει σὲ λογικὴ ἐνέργεια κάποτε ἐξ ὁλοκλήρου καὶ κάποτε κατὰ μέρος.

161δ Ἐπιφάνιος, Κατὰ αἱρέσεων 1.5.1 (Diels p. 558):
Λέγει λοιπόν, ὅτι κι' ὁ ἴδιος ὁ Ζήνων ὀνομάζει τὴν ὕλη σύγχρονη μὲ τὸν θεό, παρόμοια μὲ τὶς ἄλλες σχολές, κι' ὅτι εἶναι εἱμαρμένη καὶ γένεση, ἀπὸ τὴν ὁποία ὅλα διοικοῦνται καὶ πάσχουν.

162 Cicero, Acad. post. 1.11, 39:
Διαφωνοῦσε ἀκόμη μ' αὐτοὺς (ἐνν. ὁ Ζήνων μὲ τοὺς Περιπατητικοὺς καὶ τοὺς ὀπαδοὺς τῆς Ἀκαδημίας), ἔχοντας τὴν ἄποψη, ὅτι κανένα πράγμα, ποὺ εἶναι ἀσώματο, δὲν θὰ μποροῦσε νὰ ἐπενεργήσει (σὲ κάτι ἄλλο). Ἀφ' ἑτέρου δὲν εἶναι πάλι δυνατό, ὅτι κάτι, ποὺ προκαλεῖ κάτι, ἢ κάτι ποὺ δέχεται μιὰ ἐπενέργεια, νὰ μὴν εἶναι σῶμα.

162α Ἀλεξ. Ἀφροδισιεύς, Εἰς Ἀριστοτέλους Περὶ αἰσθήσεως p. 73, 18-21:
Θὰ μποροῦσε κανεὶς ἀπ' αὐτὰ νὰ μάθει καὶ τὴ γνώμη τοῦ Ἀριστοτέλη γιὰ τὰ ἐνεργοῦντα καὶ τὰ πάσχοντα. Γιατὶ οὔτε τὰ σώματα τοῦ φαίνονται, ὅτι ἐνεργοῦν καὶ πάσχουν, ὅπως διδάσκουν οἱ Στωικοί, οὔτε πάλι τὰ ἀσώματα, ὅπως νόμιζαν οἱ Πλατωνικοί, ἀλλά……

162β Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15.14:
Λένε (οἱ Στωικοί), ὅτι στοιχεῖο τῶν ὄντων εἶναι ἡ φωτιά, ὅπως ὁ Ἡρά-

ἀρχὰς ὕλην καὶ θεόν, ὡς Πλάτων. Ἀλλ' οὗτος ἄμφω σώματά φασι εἶναι καὶ τὸ ποιοῦν καὶ τὸ πάσχον, ἐκείνου τὸ πρῶτον ποιοῦν αἴτιον ἀσώματον εἶναι λέγοντος. Ἔπειτα δὲ καὶ κατά τινας εἱμαρμένους χρόνους ἐκπυροῦσθαι τὸν σύμπαντα κόσμον, εἶτ' αὖθις πάλιν διακομεῖσθαι. Τὸ μέντοι πρῶτον πῦρ εἶναι καθαπερεί τι σπέρμα τῶν ἁπάντων ἔχον τοὺς λόγους καὶ τὰς αἰτίας τῶν γεγονότων καὶ τῶν γινομένων καὶ τῶν ἐσομένων· τὴν δὲ τούτων ἐπιπλοκὴν καὶ ἀκολουθίαν εἱμαρμένην καὶ ἐπιστήμην καὶ ἀλήθειαν καὶ νόμον εἶναι τῶν ὄντων ἀδιάδραστόν τινα καὶ ἄφυκτον. ταύτῃ δὲ πάντα διοικεῖσθαι τὰ κατὰ τὸν κόσμον ὑπέρευ, καθάπερ τῇ εὐνομωτάτῃ τινὶ πολιτείᾳ.

162γ [Galenus], Historia philosophica. 23, p. 612, 19 - 613, 2 Diels:
Σῶμα τινῶν ὑπολαβόντων τὸ οἷόν τε ποιεῖν ἢ πάσχειν, ἕτεροι τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας τὸ σῶμα καθεστάναι φασίν. εἶναι μὲν γὰρ σημεῖον, οὗ μέρος οὐδέν, ἐπιφάνειαν δὲ τὸ μήκους καὶ πλάτους μετέχον, τοῦτο δὲ ὁπόταν μέγεθος προσλάβῃ, σῶμα νομίζουσιν εἶναι. τινὲς δὲ τὰ πέρατα σώματα εἶναι ὑπειλήφασιν.

1. τὸ εἴτε ποιεῖν εἴτε πάσχειν AB, quod B addito δυνάμενον suo marte interpolavit: *in quo est agere et pati* N: corr. Diels ‖ 3. ἐπιφάνεια AB recte N ‖ μήκους κ. πλάτους μετέχον A: μῆκος κ. πλάτος ἔχον B ‖ 4. μέγεθος BN Hülser: μεγέθους A: καὶ βάθος Diels.

163 Cicero, De natura deorum 1.36:
Zeno naturalem legem divinam esse censet eamque vim obtinere recta imperantem prohibentemque contraria.

163α Philodemus, Περὶ εὐσεβείας c. 8:
Δεῖ τὴν ⟨δ⟩ύναμιν οὖσαν συνα⟨π⟩τικὴν οἰκε⟨ί⟩ως τῶν μερῶ⟨ν⟩ πρὸ⟨ς ἄ⟩λληλα καὶ ἐκ… ων τὴν δ' ἀνα⟨τολὴ⟩ν ἡ⟨λί⟩ου καὶ κύ⟨κλησιν⟩ ἢ περίοδον.

1. locum ad Zenonem probabiliter rettulit Diels 1.1.; Venerem ipse induxi. ‖ συντακτικὴν dedi v. Arnim: συναπτικὴν vulgo. 2. fortasse καὶ ἐκτικήν. 3. τὴν δ' ἀνατολὴν ἡλίου καὶ κύ⟨κλησιν⟩ ἢ περίοδον Diels.

163β Nemesius, De natura hominis 70, 6-71, 4:
(1) εἰ τοίνυν σῶμά ἐστιν ἡ ψυχὴ οἱονδήποτε, εἰ καὶ λεπτομερέστατον, τί πάλιν ἐστὶ τὸ συνέχον ἐκείνην; (2) ἐδείχθη γὰρ πᾶν σῶμα δεῖσθαι τοῦ συνέχοντος, καὶ οὕτως εἰς ἄπειρον, ἕως ἂν καταντήσωμεν εἰς ἀσώματον.

κλειτος· καὶ ἀρχές της εἶναι ἡ ὕλη καὶ ὁ θεός, ὅπως ὁ Πλάτων. Ἀλλὰ αὐτὸς (ὁ Ζήνων) λέει πὼς καὶ τὰ δυό τους εἶναι σώματα κι' αὐτό, ποὺ δημιουργεῖ (ποιεῖ), καὶ αὐτὸ ποὺ δημιουργεῖται (πάσχει), ἐνῶ ἐκεῖνος (ὁ Πλάτων) ἔλεγε ὅτι τὸ πρῶτο, αὐτὸ ποὺ εἶναι αἴτιο τῆς δημιουργίας, εἶναι ἀσώματο. Καὶ ἔπειτα μὲ τὸ πέρασμα ὁρισμένων χρόνων, σύμφωνα μὲ τὸ πεπρωμένο, ὅλος ὁ κόσμος θὰ γίνει φωτιά, κι' ὕστερα πάλι θὰ ξαναγίνει ἡ τάξη τοῦ κόσμου. Ἡ πρώτη ὅμως φωτιὰ εἶναι σὰν ἕνα κάποιο σπέρμα τῶν ὅλων, ποὺ περιέχει μέσα του τοὺς λόγους καὶ τὶς αἰτίες αὐτῶν, ποὺ ἔχουν γίνει, αὐτῶν ποὺ γίνονται καὶ αὐτῶν ποὺ θὰ γίνουν· ἡ δὲ μεταξύ τους συμπλοκὴ καὶ ἀκολουθία εἶπε (ὁ Ζήνων) ὅτι εἶναι ἡ εἱμαρμένη καὶ ἡ γνώση καὶ ἡ ἀλήθεια καὶ ὁ νόμος τῶν ὄντων ὁ ἀναπόδραστος καὶ ἀναπόφευκτος. Καὶ σύμφωνα μ' αὐτὴν (τὴν εἱμαρμένη) διοικοῦνται ὅσα εἶναι στὸν κόσμο ὑπεράριστα, ὅπως σὲ μιὰ πολιτεία εὐνομώτατη.

162γ Γαληνός, Περὶ τῆς φιλοσόφου ἱστορίας 23, p. 612, 19 - 613, 2 Diels:
Ἐνῶ μερικοὶ κατανόησαν τὸ σῶμα ὡς κάτι, ποὺ δύναται νὰ ποιεῖ καὶ νὰ πάσχει, ἄλλοι λένε, ὅτι σῶμα εἶναι τὸ τρισδιάστατο σὲ ἔκταση ποὺ ἔχει ἀντίσταση. Γιατὶ ἕνα σημεῖο εἶναι αὐτό, ποὺ δὲν κατέχει κανένα μέρος, ἐπιφάνεια αὐτὸ ποὺ μετέχει μήκους καὶ πλάτους, κι' αὐτό, ὅταν προσλάβει ὕψος, τότε θεωρεῖται ὅτι εἶναι σῶμα. Μερικοὶ ὡστόσο θεωροῦν ὅτι σώματα εἶναι τὰ πέρατα.

163 Cicero, De natura deorum 1.36:
Ὁ Ζήνων φρονεῖ, ὅτι ὁ φυσικὸς νόμος εἶναι θεῖος καὶ μ' αὐτὸν ἀποκτοῦμε δύναμη, ποὺ προστάζει τὰ ὀρθὰ καὶ ἐμποδίζει τὰ ἀντίθετα.

163α Φιλόδημος, Περὶ εὐσεβείας c.8:
Πρέπει ἡ δύναμη νὰ εἶναι συναπτικὴ τῶν μερῶν, τοῦ ἑνὸς πρὸς τὸ ἄλλο, σύμφωνα μὲ μιὰν οἰκείωση, καὶ ἐκ …ων… ἡ δὲ ἀνατολὴ τοῦ ἥλιου νὰ εἶναι καὶ ἀνακύκληση ἢ περιοδικὴ κίνηση.

163β Νεμέσιος, Περὶ φύσεως ἀνθρώπου 70, 6-71, 4:
(1) Ἂν λοιπὸν ἡ ψυχὴ εἶναι ὁποιοδήποτε σῶμα, ἂν καὶ τὸ πιὸ λεπτό, τί εἶναι αὐτὸ ποὺ ἐκείνη τὴ συνέχει; (2) Γιατὶ ἀποδείχθηκε ὅτι κάθε σῶμα χρειάζεται κάτι ποὺ νὰ τὸ συνέχει καὶ ἔτσι στὸ ἄπειρο, ἕως ὅτου φτά-

(3) εἰ δὲ λέγοιεν, καθάπερ οἱ Στωικοί, τονικήν τινα εἶναι κίνησιν περὶ τὰ σώματα, εἰς τὸ ἔσω ἅμα καὶ εἰς τὸ ἔξω κινουμένην, καὶ τὴν μὲν εἰς τὸ ἔξω μεγεθῶν καὶ ποιοτήτων ἀποτελεστικὴν εἶναι, τὴν δὲ εἰς τὸ ἔσω ἑνώσεως καὶ οὐσίας, ἐρωτητέον αὐτούς, ἐπειδὴ πᾶσα κίνησις ἀπό τινός ἐστι δυνάμεως, τίς ἡ δύναμις αὕτη καὶ ἐν τίνι οὐσίωται;

163γ Stobaeus, Eclogae 1.1, 29 p. 35, 9:
Ζήνων ὁ Στωικὸς νοῦν κόσμου πύρινον (scil. θεὸν ἀπεφήνατο).

163δ Themistius, De anima 72b [ed. Speng. 2, p. 64, 25]:
Τάχα δὲ καὶ τοῖς ἀπὸ Ζήνωνος σύμφωνος ἡ δόξα διὰ πάσης οὐσίας πεφοιτηκέναι τὸν θεὸν τιθεμένοις καὶ ποῦ μὲν εἶναι νοῦν ποῦ δὲ ψυχὴν ποῦ δὲ φύσιν ποῦ δὲ ἕξιν.

163ε Lactantius, De Vera Sapientia c. 9:
Zeno rerum naturae dispositorem atque artificem universitatis λόγον praedicat quem et fatum et necessitatem rerum et deum et animum Iovis nuncupat.

163στ Cicero, De natura deorum 2.57:
Zeno igitur ita naturam definit ut eam dicat ignem esse artificiosum ad gignendum progredientem via. Censet enim artis maxime proprium esse creare et gignere, quodque in operibus nostrarum artium manus efficiat, id multo artificiosius naturam efficere, id est, ut dixi, ignem artificiosum magistrum artium reliquarum.

163ζ Aetius, Placita 1.7.33:
(1) οἱ Στωικοὶ νοερὸν θεὸν ἀποφαίνονται, πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γενέσει κόσμου, ἐμπεριειληφός (τε) πάντας τοὺς σπερματικοὺς λόγους καθ' οὓς ἅπαντα καθ' εἱμαρμένην γίνεται, (2) καὶ πνεῦμα μὲν ἐνδιῆκον δι' ὅλου τοῦ κόσμου, τὰς δὲ προσηγορίας μεταλαμβάνον κατὰ τὰς τῆς ὕλης, δι' ἧς κεχώρηκε, παραλλάξεις.

2. γενέσει vel γένεσιν codd. ἐμπεριειληφός ⟨τε⟩ Dübner ἐμπεριειληφὸς vel ἐμπεριειληφότος codd. 3. ἅπαντα vel ἕκαστα codd. ἐνδιῆκον vel διῆκον codd. 4-5. κατὰ τὰς παραλλάξεις Galen, Athenagoras δι' ὅλης… παραλλάξεις (vel παραλλὰξ vel. παραλλάξαν) codd. cf. Diels, Dox. Graec. pp. 5.51

σουμε στὸ ἀσώματο. (3) Ἂν δὲ λέμε, ὅπως οἱ Στωικοί, ὅτι ὑπάρχει μιὰ τονικὴ κίνηση γύρω ἀπὸ τὰ σώματα, ποὺ κινεῖται συνάμα πρὸς τὰ ἔσω καὶ πρὸς τὰ ἔξω, κι' ἐκείνη ποὺ κινεῖται πρὸς τὰ ἔξω ἀπεργάζεται μεγέθη καὶ ποιότητες, ἐνῶ αὐτὴ πρὸς τὰ ἔσω ἕνωση καὶ οὐσία, πρέπει νὰ ρωτήσουμε αὐτούς, ἐπειδὴ κάθε κίνηση εἶναι ἀπὸ κάποια δύναμη, ποιὰ εἶναι ἡ δύναμη αὐτὴ καὶ σὲ τί βρίσκεται ἡ οὐσία της;

163γ Στοβαῖος, Ἐκλογαὶ 1.1, 29 p. 35, 9:
Ὁ Ζήνων ὁ Στωικὸς τὸν νοῦ τοῦ κόσμου τὸν πύρινο (ἐνν. τὸν χαρακτήρισε θεό).

163δ Θεμίστιος, Περὶ Ψυχῆς 72b:
Ἴσως δὲ νὰ εἶναι σύμφωνη καὶ ἡ ἄποψη τοῦ Ζήνωνος καὶ τῶν ὀπαδῶν του, ὅτι ὁ θεὸς διήκει διὰ μέσου ὅλης τῆς οὐσίας ὑποθέτοντας, ὅτι κάπου ἐμφαίνεται ὡς νοῦς, κάπου ὡς ψυχή, κάπου ὡς φύση καὶ κάπου ὡς ἕξη (συναρμογή).

163ε Lactantius, De Vera Sap. c. 9:
Ὁ Ζήνων τὸν διευθέτη τῆς φύσης τῶν πραγμάτων καὶ τεχνίτη τοῦ ὅλου ὀνομάζει λόγον, αὐτὸν καλεῖ καὶ εἱμαρμένη καὶ ἀνάγκη τῶν πραγμάτων καὶ θεὸ καὶ ψυχὴ τοῦ Διός.

163στ Cicero, De nat. deor. 2.57:
Ὁ Ζήνων λοιπὸν ἔτσι ὁρίζει τὴ φύση λέγοντας, ὅτι αὐτὴ εἶναι πῦρ ποὺ βαδίζει μιὰ ὁδὸ πρὸς γένεση. Διότι φρονεῖ, ὅτι ἴδιον τῆς τέχνης εἶναι νὰ δημιουργεῖ καὶ νὰ γεννᾶ καὶ ὅ,τι στὰ ἔργα τῶν δικῶν μας τεχνῶν διαπλάθει τὸ χέρι, πολὺ πιὸ ἔντεχνα διαπλάθει ἡ φύση, δηλ. τὸ τεχνικὸν πῦρ, τὸ ἄρχον τῶν λοιπῶν τεχνῶν.

163ζ Ἀέτιος, Περὶ ἀρεσκόντων 1.7.33:
(1) Οἱ Στωικοὶ θεωροῦν τὸν θεό, ποὺ ἔχει νόηση, μιὰ τεχνίτρα φωτιά, ποὺ πορεύεται στὴ γένεση τοῦ κόσμου περιλαμβάνοντας μέσα του ὅλους τοὺς σπερματικοὺς λόγους, σύμφωνα μὲ τοὺς ὁποίους ὅλα γίνονται ἀκολουθώντας τὴν εἱμαρμένη, (2) καὶ πνεῦμα, ποὺ περνᾶ διὰ μέσου ὅλου τοῦ κόσμου, καὶ παίρνει τὶς ὀνομασίες του σύμφωνα μὲ τὶς παραλλαγὲς τῆς ὕλης, διὰ τῆς ὁποίας προχωρεῖ.

β. Ὁ κόσμος καὶ ἡ σύστασή του (164-167)

164 Stobaeus, Eclogae 1.17, 3, p. 152, 19:
Ζήνωνα δὲ οὕτως ἀποφαίνεσθαι διαρρήδην· τοιαύτην δὲ δείσει εἶναι ἐν περιόδῳ τὴν τοῦ ὅλου διακόσμησιν ἐκ τῆς οὐσίας, ὅταν ἐκ πυρὸς τροπὴ εἰς ὕδωρ δι' ἀέρος γένηται, τὸ μέν τι ὑφίστασθαι καὶ γῆν συνίστασθαι [καὶ] ἐκ τοῦ λοιποῦ δὲ τὸ μὲν διαμένειν ὕδωρ, ἐκ δὲ τοῦ ἀτμιζομένου ἀέρα γίνεσθαι λεπτυνομένου δὲ τοῦ ἀέρος πῦρ ἐξάπτεσθαι, τὴν δὲ μῖξιν ⟨καὶ⟩ κρᾶσιν γίνεσθαι τῇ εἰς ἄλληλα τῶν στοιχείων μεταβολῇ σώματος ὅλου δι' ὅλου τινὸς ἑτέρου διερχομένου.

3. ὑφίσταται FP, corr. Canter. 4. καὶ del. Heeren 5. ἐκ τινὸς libri, 5. λεπτυνομένου Diels ‖ ἐξάπτειν libri, corr. Diels. 6. μῖξιν seclusi, μῖξιν ⟨καὶ⟩ κρᾶσιν Diels ‖ γίνεσθαι - μεταβολῇ vix sana; nam ψρᾶσις non potest fieri τῇ εἰς ἄλληλα μεταβολῇ. Fortasse: ἐπιγίνεσθαι v. Arnim.

164α Diogenes Laertius 7.135, 136:
Ἕν τ' εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία· πολλαῖς τ' ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. (136) κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιόνδ' ὑπολείπεσθαι ἐν τῷ ὑγρῷ, εὐεργὸν αὑτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτ' ἀπογεννᾶν πρῶτον τὰ τέσσαρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν. λέγει δὲ περὶ αὐτῶν Ζήνων ἐν τῷ Περὶ τοῦ ὅλου καὶ Χρύσιππος…

1-2 πολλάς τε ἑτέρας ὀνομασίας B, πολλαῖς ἑτέραις ὀνομασίαις (om. τε) P. 3. πρέπειν B 4. οὕτω δὲ BP 5. ὑπολιπέσθαι BD

164β Diogenes Laertius 7.142:
Γίνεσθαι δὲ τὸν κόσμον ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρότητα, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ τὸ δὲ λεπτομερὲς ἐξαερωθῇ, καὶ τοῦτ' ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ· εἶτα κατὰ μῖξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη. περὶ δὴ οὖν τῆς γενέσεως καὶ τῆς φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ περὶ ὅλου.

2. ὑγρὸν PL 3. ἐξαραιωθῆ BL, ἐξαερωθῆ P, sed ερ in litura trium litterarum P^3

164γ Galenus, Commentarii in Hippocratis de humoribus 1. (16.32 K.):
Ζήνων τε ὁ Κιτιεὺς [ὃς] τὰς ποιότητας οὕτω καὶ τὰς οὐσίας δι' ὅλων κεράννυσθαι ἐνόμιζεν.
Id. de nat. facult. I. 2.

β. Ὁ κόσμος καὶ ἡ σύστασή του (164-167)

164 Στοβαῖος, Ἐκλογαὶ 1.17, 3, p. 152, 19:
Ὁ Ζήνων ἐκφράζει τὴ γνώμη του ἔτσι ρητά: «τέτοια πρέπει νὰ εἶναι στὴν περιοδικὴ κυκλικὴ κίνηση ἡ τάξη τοῦ σύμπαντος, ἀπὸ τὴν οὐσία, ὅταν ἀπὸ τὴ φωτιὰ γίνεται μετατροπὴ διὰ μέσου τοῦ ἀέρα σὲ νερό, τοῦ ὁποίου ἕνα μέρος κατακάθεται καὶ συναποτελεῖ τὸ χῶμα καὶ ἀπὸ τὸ ὑπόλοιπο τὸ ἕνα παραμένει νερό, ἀπὸ δὲ τὸ ἐξατμιζόμενο γίνεται ἀέρας, κι' ὅταν λεπτύνει ὁ ἀέρας ἀναφλέγεται ἡ φωτιά, ἡ δὲ μείξη καὶ τὸ κράμα γίνεται μὲ τὴ μεταβολὴ τῶν στοιχείων ἀπὸ τὸ ἕνα στὸ ἄλλο μὲ τὸ νὰ διέρχεται ὅλο τὸ σῶμα διὰ μέσου ἑνὸς ἄλλου σώματος.»

164α Διογένης Λαέρτιος 7.135, 136:
Ἕνας εἶναι ὁ θεὸς καὶ ὁ νοῦς καὶ ἡ εἱμαρμένη καὶ ὁ Δίας· καὶ ὀνομάζεται ἀκόμα μὲ πολλὲς ἄλλες ὀνομασίες. Στὴν ἀρχὴ ὄντας μὲ τὸν ἑαυτό του μετέτρεψε τὴν οὐσία ὅλη διὰ τοῦ ἀέρα σὲ νερό· κι' ὅπως περιέχεται τὸ σπέρμα στὴ γονιμοποίηση, ἔτσι καὶ αὐτὸς ὄντας σπερματικὸς λόγος τοῦ κόσμου, ὡς τέτοιος μένει πίσω μέσα στὸ ὑγρὸ καὶ καθιστᾶ τὴν ὕλη εὔπλαστη στὸν ἑαυτό του ἀποβλέποντας στὴν ἑπόμενη γένεση. Ἔπειτα γέννησε τὰ πρῶτα τέσσερα στοιχεῖα, τὴ φωτιά, τὸ νερό, τὸν ἀέρα, τὴ γῆ. Καὶ μιλᾶ γι' αὐτὰ ὁ Ζήνων στὴν πραγματεία του Περὶ τοῦ ὅλου καὶ ὁ Χρύσιππος…

164β Διογένης Λαέρτιος 7.142:
Γίνεται δὲ ὁ κόσμος, ὅταν ἀπὸ τὴ φωτιὰ ἡ οὐσία μετατραπεῖ μὲ τὸν ἀέρα σὲ ὑγρὸ στοιχεῖο, ὕστερα, ὅταν τὸ παχὺ μέρος τοῦ (ὑγροῦ), ἀφοῦ συμπυκνωθεῖ, ἀποτελεσθεῖ ἡ γῆ, τὸ δὲ λεπτὸ μέρος ἐξαερωθεῖ καὶ αὐτὸ ὅταν λεπτύνει ἀκόμα περισσότερο γεννήσει φωτιά. Ἔπειτα μὲ τὴν ἀνάμιξη ἀπ' αὐτὰ γίνονται τὰ φυτὰ καὶ τὰ ζῶα καὶ τὰ ἄλλα εἴδη. Γιὰ τὴ γένεση δὲ καὶ τὴ φθορὰ τοῦ κόσμου μιλᾶ ὁ Ζήνων στὸ βιβλίο τοῦ Περὶ τοῦ ὅλου.

164γ Γαληνός, Εἰς Ἱππ. ὑπόμνημα περὶ χυμῶν 1. (16.32 K):
Καὶ ὁ Ζήνων ὁ Κιτιεύς, ποῦ θεωροῦσε ὅτι ὅπως οἱ ποιότητες ἔτσι καὶ οἱ οὐσίες διὰ μέσου τοῦ ὅλου συγκεράννυνται.
Τοῦ ἰδίου: Περὶ δυν. φυσ. Ι. 2.

εἰ δ' ὥσπερ τὰς ποιότητας καὶ τὰς οὐσίας δι' ὅλων κεράννυσθαι χρὴ νομίζειν, ὡς ὕστερον ἀπεφήνατο Ζήνων ὁ Κιτιεύς.

164δ Stobaeus, Eclogae 1.19.4, p. 166, 4:
Ζήνωνος. Τῶν δ' ἐν τῷ κόσμῳ πάντων τῶν κατ' ἰδίαν ἕξιν συνεστώτων τὰ μέρη τὴν φορὰν ἔχειν εἰς τὸ τοῦ ὅλου μέσον, ὁμοίως δὲ καὶ αὐτοῦ τοῦ κόσμου· διόπερ ὀρθῶς λέγεσθαι πάντα τὰ μέρη τοῦ κόσμου ἐπὶ τὸ μέσον τοῦ κόσμου τὴν φορὰν ἔχειν, μάλιστα δὲ τὰ βάρος ἔχοντα. Ταὐτὸν δ' αἴτιον εἶναι καὶ τῆς τοῦ κόσμου μονῆς ἐν ἀπείρῳ κενῷ, καὶ τῆς γῆς παραπλησίως ἐν τῷ κόσμῳ περὶ τὸ τούτου κέντρον καθιδρυμένης ἰσοκρατικῶς. Οὐ πάντως δὲ σῶμα βάρος ἔχειν, ἀλλ' ἀβαρῆ εἶναι ἀέρα καὶ πῦρ· τείνεσθαι δὲ καὶ ταῦτά πως ἐπὶ τὸ τῆς ὅλης σφαίρας τοῦ κόσμου μέσον, τὴν δὲ σύστασιν πρὸς τὴν περιφέρειαν αὐτοῦ ποιεῖσθαι· φύσει γὰρ ἀνώφοιτα ταῦτ' εἶναι διὰ τὸ μηδενὸς μετέχειν βάρους. Παραπλησίως δὲ τούτοις οὐδ' αὐτόν φασι τὸν κόσμον βάρος ἔχειν διὰ τὴν ὅλην αὐτοῦ σύστασιν ἔκ τε τῶν βάρος ἐχόντων στοιχείων εἶναι καὶ ἐκ τῶν ἀβαρῶν. Τὴν δὲ ὅλην γῆν καθ' ἑαυτὴν μὲν ἔχειν ἀρέσκει βάρος παρὰ δὲ τὴν θέσιν διὰ τὸ τὴν μέσην ἔχειν χώραν (πρὸς δὲ τὸ μέσον εἶναι τὴν φορὰν τοῖς τοιούτοις σώμασιν) ἐπὶ τόπου τούτου μένειν.

165 Eusebius, Praeparatio evangelica 15.18.3 (PG. 21 col. 1348):
Ἀρέσκει γὰρ τοῖς Στωικοῖς φιλοσόφοις τὴν ὅλην οὐσίαν εἰς πῦρ μεταβάλλειν, οἷον εἰς σπέρμα, καὶ πάλιν ἐκ τούτου αὐτὴν ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα τὸ πρότερον ἦν. Καὶ τοῦτο τὸ δόγμα τῶν ἀπὸ τῆς αἱρέσεως οἱ πρῶτοι καὶ πρεσβύτατοι προσήκαντο, Ζήνων τε καὶ Κλεάνθης καὶ Χρύσιππος.

165α Tatianus, Adversus Graecos c. 3:
Τὸν γὰρ Ζήνωνα διὰ τῆς ἐκπυρώσεως ἀποφαινόμενον ἀνίστασθαι πάλιν τοὺς αὐτοὺς ἐπὶ τοῖς αὐτοῖς, λέγω δὲ Ἄνυτον καὶ Μέλητον ἐπὶ τῷ κατηγορεῖν, Βούσιριν δὲ ἐπὶ τῷ ξενοκτονεῖν καὶ Ἡρακλέα πάλιν ἐπὶ τῷ ἀθλεῖν, παραιτητέον·

165β Nemesius, De natura hominis 309, 5 - 311, 2:
(1) οἱ δὲ Στωικοί φασιν ἀποκαθισταμένους τοὺς πλάνητας εἰς τὸ αὐτὸ σημεῖον κατά τε μῆκος καὶ πλάτος, ἔνθα τὴν ἀρχὴν ἔκαστος ἦν ὅτε τὸ πρῶτον ὁ κόσμος συνέστη, ἐν ῥηταῖς χρόνων περιόδοις ἐκπύρωσιν καὶ φθορὰν τῶν ὄντων ἀπεργάζεσθαι. (2) καὶ πάλιν ἐξ ὑπαρχῆς εἰς τὸ αὐτὸ τὸν κόσμον ἀποκαθίστασθαι· καὶ τῶν ἀστέρων ὁμοίως πάλιν φερομέ-

Ἂν δὲ πρέπει νὰ νομίζουμε, ὅτι ὅπως οἱ ποιότητες, ἔτσι καὶ οἱ οὐσίες συγκεράννυνται μὲ ὅλα, σύμφωνα μὲ ὅσα ὕστερα ἀνέπτυξε ὁ Ζήνων ὁ Κιτιεύς…

164δ Στοβαῖος, Ἐκλογαὶ 1. 19. 4, p. 166, 4:
Τοῦ Ζήνωνος. Τὰ μέρη ὅλων ποὺ εἶναι μέσα στὸν κόσμο μὲ τὴ σύσταση ποὺ ἔχουν κατὰ τὴ δική τους ἕξη ἔχουν μιὰ φορὰ κινούμενα πρὸς τὸ κέντρο τοῦ ὅλου καὶ μὲ ὅμοιο τρόπο πρὸς τὸ κέντρο αὐτοῦ τοῦ κόσμου· γι᾽ αὐτὸ σωστὰ λέγεται ὅτι ὅλα τὰ μέρη τοῦ κόσμου ἔχουν μιὰ φορὰ πρὸς τὸ κέντρο τοῦ κόσμου καὶ μάλιστα ὅσα ἔχουν βάρος· κι᾽ αὐτὴ εἶναι ἡ αἰτία τῆς παραμονῆς τοῦ κόσμου μέσα στὸ ἄπειρο κενὸ καὶ παρόμοια μέσα στὸν κόσμο τῆς γῆς, ποὺ εἶναι ἐγκαθιδρυμένη ἰσόρροπα γύρω ἀπὸ τὸ κέντρο του. Καὶ δὲν ἔχουν ὅλα τὰ σώματα βάρος, ἀλλὰ εἶναι ἀβαρὴ ὁ ἀέρας καὶ ἡ φωτιά· κι᾽ αὐτὰ τείνουν κατὰ κάποιο τρόπο πρὸς τὸ κέντρο τῆς ὅλης σφαίρας τοῦ κόσμου, ἐνῶ κατὰ τὴ σύστασή τους θὰ ἔπρεπε νὰ στρέφονται πρὸς τὴν περιφέρειά του· γιατὶ ἀπὸ τὴ φύση τους αὐτὰ ὠθοῦνται πρὸς τὰ ἐπάνω, ἀφοῦ δὲν ἔχουν κανένα βάρος. Καὶ παρόμοια μ᾽ αὐτὰ λένε, ὅτι οὔτε κι᾽ ὁ ἴδιος ὁ κόσμος δὲν ἔχει βάρος, ἐξ αἰτίας τῆς σύστασής του ἀπὸ ἐκεῖνα τὰ στοιχεῖα ποὺ ἔχουν βάρος καὶ ἀπὸ τὰ ἀβαρή. Ἐνῶ ὅλη ἡ γῆ ἀπὸ μόνη της θεωροῦν, ὅτι ἔχει βάρος· καὶ παρὰ τὴ θέση της, γιατὶ βρίσκεται στὸ κέντρο (καὶ πρὸς τὸ κέντρο εἶναι ἡ φορὰ τῶν τέτοιων σωμάτων), μένει σ᾽ αὐτὸν τὸν τόπο.

165 Εὐσέβιος, Προπαρασκευὴ εὐαγγελικὴ 15. 18. 3 (PG. 21 col. 1348):
Οἱ Στωικοὶ φιλόσοφοι ἔχουν τὴν ἄποψη, ὅτι ἡ οὐσία ὅλη μετατρέπεται σὲ φωτιὰ σὰν σὲ σπέρμα καὶ πάλι ἀπ᾽ αὐτὸ συστήνεται ἡ τάξη τοῦ κόσμου, παρόμοια μ᾽ αὐτὴν ποὺ ἦταν πρίν. Καὶ αὐτὴ τὴ θεωρία τὴ διατύπωσαν οἱ πρῶτοι καὶ ἀρχαιότεροι ἀπὸ τὴ Σχολή, ὁ Ζήνων καὶ ὁ Κλεάνθης καὶ ὁ Χρύσιππος.

165α Τατιανός, Πρὸς Ἕλληνας, c. 3:
Τὸν Ζήνωνα μὲ τὴ θεωρία του γιὰ τὴν ἐκπύρωση, ποὺ ἀποφαίνεται ὅτι οἱ ἴδιοι γιὰ τὰ ἴδια πράγματα θὰ ἀναστηθοῦν πάλι, ὁ Ἄνυτος καὶ ὁ Μέλητος γιὰ νὰ κατηγορήσουν (τὸν Σωκράτη), ὁ Βούσιρις γιὰ νὰ σκοτώνει τοὺς ξένους καὶ ὁ Ἡρακλῆς γιὰ νὰ κάνει ἄθλους, πρέπει νὰ τὸν παραιτήσουμε.

165β Νεμέσιος, Περὶ φύσεως ἀνθρώπου 309, 5 -311, 2:
(1) Οἱ Στωικοὶ λένε ὅτι, ὅταν οἱ πλανῆτες ξαναγυρίζουν στὸ ἴδιο σημεῖο καὶ κατὰ τὸ μῆκος καὶ κατὰ τὸ πλάτος, ὅπου ἦταν ὁ καθένας στὴν ἀρχή, ὅταν πρωτοσυστάθηκε ὁ κόσμος, σὲ καθορισμένες περιόδους χρόνου προκαλοῦν τὴν ἐκπύρωση καὶ τὴ φθορὰ τῶν ὄντων. (2) Καὶ πάλι ἀπὸ τὴν ἀρχὴ ὁ κόσμος ἀποκαθίσταται στὴν πρώτη του κατάσταση· κι᾽ ὅταν

νων, ἕκαστον ἐν τῇ προτέρᾳ περιόδῳ γινόμενον ἀπαραλλάκτως ἀποτελεῖσθαι. ἔσεσθαι γὰρ πάλιν Σωκράτη καὶ Πλάτωνα καὶ ἕκαστον τῶν ἀνθρώπων σὺν τοῖς αὐτοῖς καὶ φίλοις καὶ πολίταις· καὶ τὰ αὐτὰ πείσεσθαι καὶ τοῖς αὐτοῖς συντεύξεσθαι καὶ τὰ αὐτὰ μεταχειριεῖσθαι, καὶ πᾶσαν πόλιν καὶ κώμην καὶ ἀγρὸν ὁμοίως ἀποκαθίστασθαι. (3) γίνεσθαι δὲ τὴν ἀποκατάστασιν τοῦ παντὸς οὐχ ἅπαξ ἀλλὰ πολλάκις· μᾶλλον δὲ εἰς ἄπειρον καὶ ἀτελευτήτως τὰ αὐτὰ ἀποκαθίστασθαι.

165γ Diogenes Laertius 7.143:
Ὅτι δ' εἷς ἐστιν [ὁ κόσμος] Ζήνων φησὶν ἐν τῷ Περὶ τοῦ ὅλου.

165δ Stobaeus, Eclogae 1.20.1e. (W. 1. p. 171):
Ζήνωνι καὶ Κλεάνθει καὶ Χρυσίππῳ ἀρέσκει τὴν οὐσίαν μεταβάλλειν οἷον εἰς σπέρμα τὸ πῦρ, καὶ πάλιν ἐκ τούτου τοιαύτην ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἵα πρότερον ἦν.

165ε Sextus, Adversus mathematicos 9.104, 107, 110:
(104) Καὶ πάλιν ὁ Ζήνων φησὶν «εἰ] τὸ λογικὸν τοῦ μὴ λογικοῦ κρεῖττόν ἐστιν· οὐδὲν δέ γε κόσμου κρεῖττόν ἐστιν· λογικὸν ἄρα ὁ κόσμος.» καὶ ὡσαύτως ἐπὶ τοῦ νοεροῦ καὶ ἐμψυχίας μετέχοντος. «τὸ γὰρ νοερὸν τοῦ μὴ νοεροῦ καὶ ⟨τὸ⟩ ἔμψυχον τοῦ μὴ ἐμψύχου κρεῖττόν ἐστιν· οὐδὲν δέ γε κόσμου κρεῖττον· νοερὸς ἄρα καὶ ἔμψυχός ἐστιν ὁ κόσμος.»

5. Hoc Zenonis argumentum qua ratione impugnaverit Alexinus quoque modo defensum sit a recentioribus Stoicis narrat Sextus ibid. § 108-110 v. Arnim

(107) Δυνάμει δὲ τὸν αὐτὸν τῷ Ζήνωνι λόγον ἐξέθετο (scil. Πλάτων)· καὶ γὰρ οὗτος τὸ πᾶν κάλλιστον εἶναί φησιν κατὰ φύσιν ἀπειργασμένον ἔργον καὶ κατὰ τὸν εἰκότα λόγον ζῷον ἔμψυχον, νοερόν τε καὶ λογικόν. (110) Ζήνων δὲ ὁ Κιτιεύς, ἀπὸ Ξενοφῶντος τὴν ἀφορμὴν λαβών, οὑτωσὶ συνερωτᾷ· τὸ προϊέμενον σπέρμα λογικοῦ καὶ αὐτὸ λογικόν ἐστιν· ὁ δὲ κόσμος προΐεται σπέρμα λογικοῦ· λογικὸν ἄρ' ἐστὶν ὁ κόσμος. ᾧ συνεισάγεται καὶ ἡ τούτου ὕπαρξις.

165στ Cicero, De natura deorum 2.22:
(1) idemque hoc modo: «nullius sensu carentis pars aliqua potest esse sentiens; mundi autem partes sentientes sunt; non igitur caret sensu mundus.» (2) pergit idem et urguet angustius: «nihil» inquit «quod animi quodque rationis est expers, id generare ex se potest animantem compotemque rationis; mundus autem generat animantis compotesque rationis; animans est igitur mundus composque rationis.» (3) idemque similitudine, ut saepe solet, rationem con-

τ' ἀστέρια ἀκολουθοῦν τὴν ἴδια φορὰ καὶ πάλι, τὸ κάθε τι θὰ ξαναγίνει ἀπαράλλακτα ὅπως κατὰ τὴν προηγούμενη περίοδο. Γιατὶ θὰ γίνουν πάλι ὁ Σωκράτης καὶ ὁ Πλάτων καὶ ὁ καθένας ἀπὸ τοὺς ἀνθρώπους μαζὶ μὲ τοὺς ἴδιους καὶ τοὺς φίλους καὶ τοὺς συμπολίτες των καὶ θὰ πάθουν τὰ ἴδια καὶ θὰ συναντήσουν τοὺς ἴδιους καὶ θὰ ἀναλάβουν τὰ ἴδια ἔργα καὶ ὅμοια θὰ ἀποκατασταθοῦν κάθε πόλη καὶ χωριὸ καὶ ἀγρός. (3) Καὶ ἡ ἀποκατάσταση τοῦ παντὸς δὲν θὰ γίνει μιὰ φορὰ ἀλλὰ πολλές· ἢ μᾶλλον ἐπ' ἄπειρον καὶ ἀτελεύτητα τὰ ἴδια πράγματα θὰ ἀποκατασταίνονται.

165γ Διογένης Λαέρτιος 7.143:
Ὅτι ἕνας εἶναι ὁ κόσμος λέει ὁ Ζήνων στὸ «Περὶ τοῦ ὅλου».

165δ Στοβαῖος Ἐκλογαὶ 1. 20. 1e:
Ὁ Ζήνων καὶ ὁ Κλεάνθης καὶ ὁ Χρύσιππος ἔχουν τὴν ἄποψη, ὅτι ἡ οὐσία μεταβάλλει τὸ πῦρ σὰν σὲ ἕνα σπέρμα καὶ πάλι ἀπ' αὐτὸ τέτοια συστήνεται ἡ τάξη τοῦ κόσμου, ὅμοια μ' αὐτὴν ποὺ ἦταν πρίν.

165ε Σέξτος Ἐμπειρικός, Πρὸς Μαθηματικοὺς 9. 104, 107, 110:
Ἐκ δὲ τῶν ψευδῶν ἐπιγίνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαστάνειν καὶ ἀκαταστασίας αἴτια. ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα. Τῶν δὲ παθῶν τὰ ἀνωτάτω, καθά φησιν Ἑκάτων ἐν τῷ δευτέρῳ Περὶ παθῶν καὶ Ζήνων ἐν τῷ Περὶ παθῶν, εἶναι γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν. δοκεῖ δ' αὐτοῖς τὰ πάθη κρίσεις εἶναι, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ παθῶν· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι, καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία ὁμοίως καὶ τἄλλα.

228 Themistius, De anima 3.5 (Spengel 2 p. 197):
Καὶ οὐ κακῶς οἱ ἀπὸ Ζήνωνος τὰ πάθη τῆς ἀνθρωπίνης ψυχῆς τοῦ λόγου διαστροφὰς εἶναι τιθέμενοι καὶ λόγου κρίσεις ἡμαρτημένας.

228α Stobaeus, Eclogae 2. 7. 10, p. 88, 14:
Πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τὰ τέσσερα, ἐπιθυμίαν, φόβον, λύπην, ἡδονήν.

228β Andronicus, De passionibus 1 (S.V.F. 3.391):
(1) λύπη μὲν οὖν ἐστιν ἄλογος συστολή· ἢ δόξα πρόσφατος κακοῦ παρουσίας, ἐφ' ᾧ οἴονται δεῖν συστέλλεσθαι. (2) φόβος δὲ ἄλογος ἔκκλισις ἢ φυγὴ ἀπὸ προσδοκωμένου δεινοῦ. (3) ἐπιθυμία δὲ ἄλογος ὄρεξις· ἢ δίωξις προσδοκωμένου ἀγαθοῦ. (4) ἡδονὴ δὲ ἄλογος ἔπαρσις ἢ δόξα πρόσφατος ἀγαθοῦ παρουσίας, ἐφ' ᾧ οἴονται δεῖν ἐπαίρεσθαι.

πος) θεωροῦν, ὅτι ἡ ἀρετὴ τοῦ ἡγεμονικοῦ εἶναι κάποια διάθεση τῆς ψυχῆς καὶ δύναμη, ποὺ γεννιέται ἀπὸ τὸν λόγο, ἢ μᾶλλον εἶναι ἡ ἴδια λόγος, ποὺ βρίσκεται σὲ ὁμολογία μὲ τὸν ἑαυτό του, σταθερὴ καὶ ἀμετάπτωτη· καὶ θεωροῦν, ὅτι τὸ παθητικὸ καὶ τὸ ἄλογο δὲν διακρίνεται ἀπὸ τὸ λογικὸ μὲ κάποια διαφορὰ καὶ κάποια φύση, ἀλλὰ εἶναι τὸ ἴδιο μέρος τῆς ψυχῆς, ποὺ ὀνομάζουν διάνοια καὶ ἡγεμονικό, ποὺ μετατρέπεται ὁλωσδιόλου καὶ μεταβάλλεται στὰ πάθη καὶ στὶς μεταβολὲς σύμφωνα μὲ τὴ συνήθεια ἢ τὴ διάθεση καὶ ὅτι γίνεται κακία καὶ ἀρετὴ καὶ ὅτι δὲν ἔχει μέσα του τίποτε τὸ ἄλογο, λέγεται ὅμως ἄλογο, ὅταν μὲ τὸν πλεονασμὸ τῆς ὁρμῆς, ποὺ καθίσταται ἰσχυρὴ καὶ ἐπικρατεῖ, φέρεται πρὸς κάτι ἄτοπο παρὰ τὴν ἐκλογὴ τοῦ λογικοῦ. Γιατὶ τὸ πάθος εἶναι πονηρὸς λόγος κι' ἀκόλαστος, ποὺ προσλαμβάνει σφοδρότητα καὶ δύναμη ἀπὸ φαύλη καὶ ἐντελῶς παραπλανημένη κρίση.

227 Διογένης Λαέρτιος 7.110-111:
Ἀπὸ τὰ ψεύδη γεννιέται στὴ διάνοια ἡ διαστροφή, ἀπὸ τὴν ὁποία βλασταίνουν πολλὰ πάθη καὶ αἰτίες ἀκαταστασίας. Αὐτὸ τὸ πάθος εἶναι κατὰ τὸν Ζήνωνα ἡ ἄλογη καὶ παρὰ φύση κίνηση τῆς ψυχῆς ἢ μιὰ ὁρμὴ πλεονεκτικὴ (ὑπερβολική). Ἀπὸ δὲ τὰ ἀνώτατα πάθη ὑπάρχουν, ὅπως λέει ὁ Ἑκάτων στὸ δεύτερο βιβλίο του Περὶ παθῶν καὶ ὁ Ζήνων στὸ Περὶ παθῶν, τέσσερα εἴδη, ἡ λύπη, ὁ φόβος, ἡ ἐπιθυμία, ἡ ἡδονή. Καὶ ἔχουν τὴν ἄποψη ὅτι τὰ πάθη εἶναι κρίσεις, ὅπως λέει ὁ Χρύσιππος στὸ Περὶ παθῶν· γιατὶ καὶ ἡ φιλαργυρία εἶναι ἀντίληψη, ὅτι τὸ ἀργύριο εἶναι καλό, καὶ ἡ μέθη καὶ ἡ ἀκολασία παρόμοια καὶ τὰ ἄλλα.

228 Θεμίστιος, Περὶ ψυχῆς 3.5 (Spengel 2 p. 197):
Καὶ ὄχι ἄστοχα οἱ ὀπαδοὶ τοῦ Ζήνωνος θεωροῦν, ὅτι τὰ πάθη τῆς ἀνθρώπινης ψυχῆς εἶναι διαστροφὲς τοῦ λόγου καὶ λανθασμένες κρίσεις τοῦ λογικοῦ.

228α Στοβαῖος, Ἐκλ. 2. 7. 10, p. 88, 14:
Πρῶτα δὲ εἶναι στὸ γένος αὐτὸ (τῶν παθῶν) τέσσερα, ἡ ἐπιθυμία, ὁ φόβος, ἡ λύπη, ἡ ἡδονή.

228β Ἀνδρόνικος, Περὶ παθῶν 1.:
(1) Ἡ λύπη εἶναι ἄλογη συστολή· ἢ πρόσφατη συνείδηση γιὰ τὴν παρουσία ἑνὸς κακοῦ, γιὰ τὸ ὁποῖο νομίζουν ὅτι παθαίνει κανεὶς μιὰ συστολή. (2) Ὁ φόβος εἶναι μιὰ ἄλογη ἀπόκλιση· ἢ φυγὴ μπροστὰ σ' ἕνα ἀναμενόμενο δεινό. (3) Ἐπιθυμία εἶναι ἡ ἄλογη ὄρεξη· ἢ ἐπιδίωξη ἑνὸς ἀναμενόμενου καλοῦ. (4) Ἡδονὴ δὲ εἶναι μιὰ ἄλογη ἔξαρση· ἢ μιὰ πρόσφατη συνείδηση γιὰ τὴν παρουσία ἑνὸς καλοῦ, γιὰ τὸ ὁποῖο νομίζουν, ὅτι πρέπει νὰ νιώθει κανεὶς μιὰ ἔξαρση.

228γ Diogenes Laertius 7.116:
(1) Εἶναι δὲ καὶ εὐπαθείας φασὶ τρεῖς, χαράν, εὐλάβειαν, βούλησιν. (2) καὶ τὴν μὲν χαρὰν ἐναντίαν φασὶν εἶναι τῇ ἡδονῇ, οὖσαν εὔλογον ἔπαρσιν· τὴν δ' εὐλάβειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν. φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. (3) τῇ δ' ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν.

2. φασὶν om. F 4. εὐλαβηθήσεσθαι F: εὐλαβήσεσθαι BP

229 Galenus, De Hippocratis et Platonis placitis 4.3 (Kühn vol. 5 p. 377):
Καὶ γὰρ Ζήνωνι κατά γε τοῦτο, καὶ ἑαυτῷ, καὶ πολλοῖς ἄλλοις μάχεται τῶν Στωικῶν, οἳ οὐ τὰς κρίσεις αὐτὰς τῆς ψυχῆς, ἀλλὰ καὶ τὰς ἐπὶ ταύταις ἀλόγους συστολάς, καὶ ταπεινώσεις, καὶ δείξεις, ἐπάρσεις τε καὶ διαχύσεις ὑπολαμβάνουσιν εἶναι τὰ τῆς ψυχῆς πάθη.

229α Galenus, De Hippocratis et Platonis placitis 5.1 (Kühn vol. 5 p. 429):
Χρύσιππος μὲν οὖν ἐν τῷ πρώτῳ Περὶ παθῶν ἀποδεικνύναι πειρᾶται, κρίσεις τινὰς εἶναι τοῦ λογιστικοῦ τὰ πάθη, Ζήνων δ' οὐ τὰς κρίσεις αὐτάς, ἀλλὰ τὰς ἐπιγιγνομένας αὐταῖς συστολὰς καὶ λύσεις, ἐπάρσεις τε καὶ πτώσεις τῆς ψυχῆς ἐνόμιζεν εἶναι τὰ πάθη.

229β Cicero, De officiis 1.136:
Perturbationes, id est, motus animi nimios rationi non obtemperantes.

230 Galenus, De Hippocratis et Platonis placitis 3.5 (Kühn 5 p. 332):
Ταῦτα πάντα φήσομεν ἀληθῶς ὑπὸ τοῦ Χρυσίππου λέγεσθαι [ὅτι ὁ περὶ τὴν καρδίαν ἐμφαίνει τόπος τὰ πάθη ταῦτα], καὶ παρακαλέσομέν γε τοὺς ἀπ' αὐτοῦ μεμνῆσθαί τε αὐτῶν καὶ μηκέτι παρ' ἡμῶν ἑτέραν ἐπιζητεῖν ἀπόδειξιν ὑπὲρ τοῦ τοὺς φόβους, καὶ τὰς λύπας, καὶ πάνθ' ὅσα τοιαῦτα πάθη κατὰ τὴν καρδίαν συνίστασθαι, ἀλλὰ τοῦτο μὲν καὶ παρ' αὐτῶν ὁμολογούμενον λαμβάνεται τῶν Στωικῶν. οὐ μόνον γὰρ Χρύσιππος, ἀλλὰ καὶ Κλεάνθης καὶ Ζήνων ἑτοίμως αὐτὰ τιθέασιν.

231 Galenus, De Hippocratis et Platonis placitis 4.7 (Kühn vol. 5 p. 416):
Ὁ γοῦν ὅρος οὗτος, φησὶν [ὁ Ποσειδώνιος], ὁ τῆς ἄσης, ὥσπερ οὖν καὶ ἄλλοι πολλοὶ τῶν παθῶν, ὑπό τε Ζήνωνος εἰρημένοι καὶ πρὸς τοῦ Χρυσίππου γεγραμμένοι, σαφῶς ἐξελέγχουσι τὴν γνώμην αὐτοῦ [Ζήνωνος]: δόξαν γὰρ εἶναι πρόσφατον τοῦ κακὸν αὐτῷ παρεῖναι, φησὶ τὴν λύπην,

228γ Διογένης Λαέρτιος 7.116:
(1) Τρία εἶναι, λένε, τὰ καλὰ πάθη (εὐπάθειαι), ἡ χαρά, τὸ δέος καὶ ἡ θέληση. (2) Καὶ ἡ μὲν χαρά, λένε, ὅτι εἶναι ἀντίθετη πρὸς τὴν ἡδονή, γιατὶ εἶναι μιὰ ἔλλογη ἔξαρση· τὸ δὲ δέος εἶναι ἀντίθετο στὸν φόβο, ὄντας μιὰ ἔλλογη ἀπόκλιση· γιατὶ ὁ σοφὸς δὲν θὰ φοβηθεῖ καθόλου, θὰ νιώσει ὅμως δέος. (3) Καὶ πρὸς τὴν ἐπιθυμία ἀντίθετη λένε ὅτι εἶναι ἡ θέληση, γιατὶ εἶναι ἔλλογη ὄρεξη.

229 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 4.3 (Kühn vol. 5 p. 377):
Γιατὶ καὶ ὡς πρὸς τοῦτο βρίσκεται σὲ σύγκρουση καὶ μὲ τὸν Ζήνωνα καὶ μὲ τὸν ἑαυτό του καὶ μὲ πολλοὺς ἄλλους ἀπὸ τοὺς Στωικούς, οἱ ὁποῖοι θεωροῦν ὄχι μόνο αὐτὲς τὶς κρίσεις τῆς ψυχῆς ἀλλὰ καὶ τὶς προκαλούμενες ἀπ' αὐτὲς ἄλογες συστολὲς καὶ ταπεινώσεις, καὶ ἐπιδείξεις καὶ ἐπάρσεις καὶ διαχύσεις, ὅτι εἶναι πάθη τῆς ψυχῆς.

229α Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 5.1 (Kühn vol. 5 p. 429):
Ὁ Χρύσιππος λοιπὸν στὸ πρῶτο του βιβλίο Περὶ παθῶν ἐπιχειρεῖ νὰ ἀποδείξει, ὅτι τὰ πάθη εἶναι κάποιες κρίσεις τοῦ λογικοῦ, ἐνῶ ὁ Ζήνων ἐθεωροῦσε, ὅτι τὰ πάθη τῆς ψυχῆς δὲν εἶναι οἱ ἴδιες οἱ κρίσεις ἀλλὰ οἱ προκαλούμενες ἀπ' αὐτὲς συστολὲς καὶ χαλαρώσεις, ἐπάρσεις καὶ καταπτώσεις τῆς ψυχῆς.

229β Cicero, De officiis 1.136:
Πάθη, δηλ. ὑπέρμετρες ὁρμὲς τῆς ψυχῆς, ποὺ δὲν ὑποτάσσονται στὸν λόγο.

230 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 3.5 (Kühn 5 p. 332):
Ὅλα αὐτὰ θὰ ποῦμε, ὅτι λέγονται ἀπὸ τὸν Χρύσιππο στ' ἀλήθεια, ὅτι ὁ χῶρος γύρω ἀπὸ τὴν καρδιὰ ἐμφανίζει αὐτὰ τὰ πάθη, καὶ θὰ παρασκευάσουμε τοὺς μαθητές του νὰ τὰ θυμοῦνται αὐτὰ καὶ νὰ μὴ ζητοῦν πιὰ ἀπὸ μᾶς καμιὰν ἄλλη ἀπόδειξη γιὰ τὸ ὅτι οἱ φόβοι καὶ οἱ λύπες καὶ ὅλα τὰ τέτοια πάθη ἔχουν τὴν ἕδρα τους στὸ μέρος τῆς καρδιᾶς, ἀλλὰ κι' αὐτὸ θεωρεῖται ἀπὸ τοὺς Στωικοὺς ὡς παραδεδεγμένο. Γιατὶ ὄχι μόνον ὁ Χρύσιππος, ἀλλὰ καὶ ὁ Κλεάνθης καὶ ὁ Ζήνων χωρὶς δισταγμὸ τὰ γράφουν αὐτά.

231 Γαληνός, Περὶ τῶν καθ' Ἱπποκράτη 4.7 (Kühn vol. 5 p. 416):
Αὐτὸς λοιπὸν ὁ ὁρισμός, λέει ὁ Ποσειδώνιος, τῆς στενοχώριας ὅπως καὶ οἱ πολλοὶ ἄλλοι τῶν παθῶν, ποὺ εἰπώθηκαν ἀπὸ τὸν Ζήνωνα καὶ γράφτηκαν ἀπὸ τὸν Χρύσιππο, ἐλέγχουν σαφῶς τὴ γνώμη τοῦ ἴδιου τοῦ Ζήνωνος. Γιατὶ λέει πὼς ἡ λύπη εἶναι πρόσφατη σκέψη, ὅτι σ' αὐτὸν

ἐν ᾧ καὶ συντομώτερον ἐνίοτε λέγοντες ᾧδέ πως προσφέρονται· «λύπη ἐστὶ δόξα πρόσφατος κακοῦ παρουσίας».

7. ΠΕΡΙ ΗΘΟΥΣ ΚΑΙ ΚΑΘΗΚΟΝΤΟΣ

232 Stobaeus, Eclogae 2.7 (W. 2. 38) (Ἐκ τῆς Δ ι δ ύ μ ο υ ἐπιτομῆς):
Οἱ δὲ κατὰ Ζήνωνα τὸν Στωικὸν τροπικῶς [ὁρίζονται]· ἦθός ἐστι πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος πράξεις ὁρίζονται.

232α Diogenes Laertius 7.173:
Κατὰ Ζήνωνα καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους.

233 Diogenes Laertius 7.25:
Φασὶ δὲ καὶ πρῶτον [Ζήνωνα] καθῆκον ὠνομακέναι καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι.

233α Diogenes Laertius 7.107-109:
Ἔτι δὲ καθῆκόν φασιν εἶναι ὃ πραχθὲν εὔλογόν [[τε]] ἴσχει ἀπολογισμὸν οἷον τὸ ἀκόλουθον ἐν τῇ ζωῇ, ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. (108) Κατωνομάσθαι δ' οὕτως ὑπὸ πρώτου Ζήνωνος τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινας ἥκειν τῆς προσονομασίας εἰλημμένης. Ἐνέργημα δ' αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, τὰ δ' οὔτε καθήκοντα οὔτε παρὰ τὸ καθῆκον. Καθήκοντα μὲν οὖν εἶναι ὅσαλόγος αἱρεῖ ποιεῖν, ὡς ἔχει τὸ γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δέ, ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδα ὑπερορᾶν καὶ τὰ παραπλήσια· (109) οὔτε δὲ καθήκοντα οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔθ' αἱρεῖ λόγος πράττειν οὔτ' ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν ἢ στλεγγίδα καὶ τὰ ὅμοια τούτοις.

233β Stobaeus, Eclogae 2.7, 8, p. 85, 13:
Ὁρίζεται δὲ τὸ καθῆκον· τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον

εἶναι παρὸν κάποιο κακό. Ἐνῶ κάποτε μιλώντας κάπως συντομότερα τὸ διατυπώνουν κάπως ὡς ἑξῆς: «λύπη εἶναι μιὰ πρόσφατη γνώμη γιὰ τὴν παρουσία ἑνὸς κακοῦ».

7. ΠΕΡΙ ΗΘΟΥΣ ΚΑΙ ΚΑΘΗΚΟΝΤΟΣ

232 Στοβαῖος, Ἐκλογαὶ 2.7 (W. 2.38) (Ἐκ τῆς Διδύμου ἐπιτομῆς):
Ἄλλοι δὲ σύμφωνα μὲ τὸν Ζήνωνα τὸν Στωικὸ ὁρίζουν μὲ τὸν ἑξῆς τρόπο· ἦθος εἶναι πηγὴ τοῦ βίου, ἀπὸ τὴν ὁποία καθορίζονται οἱ ἐπὶ μέρους πράξεις.

232α Διογένης Λαέρτιος 7.173:
Κατὰ τὸν Ζήνωνα τὸ ἦθος εἶναι κατανοητὸ ἀπὸ τὴν εἰδή.

233 Διογένης Λαέρτιος 7.25:
Λένε ἐπίσης ὅτι ὁ Ζήνων πρῶτος τὸ ἔχει ὀνομάσει καθῆκον καὶ ἔχει γράψει λόγο γι᾽ αὐτό.

233α Διογένης Λαέρτιος 7.107-109:
Ἀκόμη δὲ λένε, ὅτι καθῆκον εἶναι αὐτό, πού, ὅταν πραχθεῖ, ἔχει μιὰ εὔλογη δικαιολογία, ὅπως εἶναι ἡ συνέπεια στὴ ζωή, αὐτὸ ἀκριβῶς ποὺ ἐκτείνεται καὶ στὰ φυτὰ καὶ στὰ ζῶα· γιατὶ βλέπουμε καὶ σ᾽ αὐτὰ καθήκοντα. (108) Καὶ ἔχει ὀνομασθεῖ ἔτσι ἀπὸ τὸν Ζήνωνα τὸ καθῆκον λαμβάνοντας τὴν ὀνομασία ἀπὸ τὸ «κατά τινας ἥκειν». Καὶ εἶναι αὐτὸ ἀποτέλεσμα ἐνέργειας οἰκεῖο πρὸς τὰ δημιουργήματα, ποὺ γίνονται σύμφωνα μὲ τὴ φύση. Γιατὶ ἀπὸ αὐτά, ποὺ ἐνεργοῦνται σύμφωνα μὲ μιὰν ὁρμή, ἄλλα μὲν εἶναι καθήκοντα, ἄλλα ἀντίθετα πρὸς τὸ καθῆκον καὶ ἄλλα οὔτε καθήκοντα, οὔτε ἀντίθετα πρὸς τὸ καθῆκον. Καθήκοντα λοιπὸν εἶναι ὅσα ὁ λόγος ἐκλέγει νὰ κάνουμε, ὅπως εἶναι τὸ νὰ τιμοῦμε τοὺς γονεῖς, τοὺς ἀδελφούς, τὴν πατρίδα, τὸ νὰ συναναστρεφόμαστε τοὺς φίλους· ἀντίθετα πρὸς τὸ καθῆκον ὅμως εἶναι, ὅσα δὲν ἐκλέγει ὁ λόγος, ὅπως τὰ ἀκόλουθα, νὰ ἀμελεῖ κανεὶς τοὺς γονεῖς του, νὰ μὴ φροντίζει γιὰ τ᾽ ἀδέλφια του, νὰ μὴ συμπαθεῖ τοὺς φίλους, νὰ περιφρονεῖ τὴν πατρίδα καὶ τὰ παρόμοια· (109) οὔτε δὲ καθήκοντα, οὔτε ἀντίθετα πρὸς τὸ καθῆκον ὅσα, οὔτε ἐκλέγει ὁ λόγος νὰ πράττουμε, οὔτε ἀπαγορεύει, ὅπως νὰ μαζεύουμε ξηρὰ κλαδιά, νὰ κρατοῦμε γραφίδα ἢ ξύστρα καὶ τὰ παρόμοια μ᾽ αὐτά.

233β Στοβαῖος, Ἐκλογαὶ 2.7, 8, p. 85, 13:
Ὁρίζει δὲ τὸ καθῆκον αὐτὸ ποὺ ἔχει μιὰ συνέπεια στὴ ζωή, πού, ὅταν τὸ

ἀπολογίαν ἔχει· παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. τοῦτο διατείνει καὶ εἰς τὰ ἄλογα τῶν ζῴων, ἐνεργεῖ γάρ τι κἀκεῖνα ἀκολούθως τῇ ἑαυτῶν φύσει· ἐπὶ ⟨δὲ⟩ τῶν λογικῶν ζῴων οὕτως ἀποδίδοται· τὸ ἀκόλουθον ἐν βίῳ.

233γ Cicero, De finibus bonorum et malorum 3.58:
Est autem officium quod ita factum est ut eius facti probabilis ratio reddi possit.

234 Cicero, De finibus bonorum et malorum 4.56:
(56) Postea tuus ille Poenulus –scis enim Citieos, clientes tuos, e Phoenica profectos–, homo igitur acutus, causam non obtinens repugnante natura verba versare coepit et primum rebus iis, quas nos bonas ducimus, concessit, ut haberentur aestimabiles et ad naturam accommodatae, faterique coepit sapienti, hoc est summe beato, commodius tamen esse si ea quoque habeat, quae bona non audet appellare, naturae accommodata esse concedit, negatque Platonem, si sapiens non sit, eadem esse in causa, qua tyrannum Dionysium; huic mori optimum esse propter desperationem sapientiae, illi propter spem vivere. peccata autem partim esse tolerabilia, partim nullo modo, propterea quod alia peccata plures, alia pauciores quasi numeros officii praeterirent. iam insipientes alios ita esse, ut nullo modo ad sapientiam possent pervenire, alios, qui possent, si id egissent, sapientiam consequi.

234α Diogenes Laertius 7.120:
Ἀρέσκει τ' αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθά φησι Χρύσιππος ἐν τῷ τετάρτῳ τῶν Ἠθικῶν ζητημάτων καὶ Περσαῖος καὶ Ζήνων. εἰ γὰρ ἀληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους, οὕτως οὐδ' ἀπάτη ἀπάτης, οὐδ' ἁμάρτημα ἁμαρτήματος. καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα ἐπίσης οὔκ εἰσιν ἐν Κανώβῳ οὕτω καὶ ὁ πλέον καὶ ὁ ἔλαττον ἁμαρτάνων ἐπίσης οὔκ εἰσιν ἐν τῷ κατορθοῦν.

234β Sextus Empiricus, Adversus mathematicos 7.422 (Πρὸς λογ. 1.422):
Ὥσπερ γὰρ ἄνθρωπος ἀνθρώπου, καθὸ ἄνθρωπός ἐστιν, οὐ διαφέρει,

πράξουμε, ἔχει μιὰ εὔλογη δικαιολογία· παρὰ τὸ καθῆκον εἶναι τὸ ἀντίθετο. Αὐτὸ ἐκτείνεται καὶ στὰ ἄλογα ζῶα, γιατὶ κι' ἐκεῖνα ἐνεργοῦν σύμφωνα μὲ τὴ φύση τους· στὰ λογικὰ ὅμως ζῶα διατυπώνεται ὡς ἑξῆς· αὐτὸ ποὺ εἶναι συνεπὲς στὸν βίο.

233γ Cicero, De finibus bon. et mal. 3.58:
Καθῆκον ὅμως εἶναι ἡ πράξη, ποὺ ὅταν πραχθεῖ μπορεῖ νὰ ἔχει μιὰν εὔλογη δικαιολογία.

234 Cicero, De finibus bon. et mal. 4.56:
(56) Ὕστερα ἄρχισε ὁ μικρός σου Φοίνικας –γιατὶ ξέρεις βέβαια ὅτι οἱ Κιτιεῖς, οἱ προστατευόμενοί σου, κατάγονται ἀπὸ τὴ Φοινίκη,– σὰν ἕνας σοφός, ποὺ δὲν ζητοῦσε νὰ κρατήσει τὴ γνώμη του ἐνάντια στὴν ἀντίσταση τῆς φύσης, νὰ παίζει περιστρέφοντας τὶς λέξεις, κι' ἐπέτρεπε πρῶτα τὰ πράγματα, ποὺ ἐμεῖς θεωροῦμε ἀγαθά, νὰ ἰσχύουν ὡς ἄξια καὶ σύμφωνα μὲ τὴ φύση· ἄρχισε ἐπίσης νὰ παραδέχεται, ὅτι γιὰ τὸν σοφό, δηλαδὴ τὸν εὐδαίμονα στὸν μέγιστο βαθμό, θὰ ἦταν ὥστόσο εὐχάριστο, ἂν εἶχε καὶ πράγματα, ποὺ μολονότι δὲν τολμᾶ νὰ τὰ χαρακτηρίσει ὡς ἀγαθά, παραδέχεται ὅμως ὅτι εἶναι σύμφωνα μὲ τὴ φύση. Καὶ ἐξηγεῖ, ὅτι ὁ Πλάτων, ἂν δὲν ἦταν σοφός, δὲν θὰ ἦταν στὴν ἴδια θέση ὅπως ὁ Διονύσιος ὁ τύραννος· γι' αὐτὸν ὁ θάνατος θὰ ἦταν τὸ καλύτερο, γιατὶ δὲν εἶχε καμιὰ ἐλπίδα γιὰ σοφία, γιὰ κεῖνον ἐξ αἰτίας αὐτῆς τῆς ἐλπίδας ἡ ζωή. Τὰ ἁμαρτήματα ὅμως εἶναι ἐν μέρει ὑποφερτά, ἐν μέρει ὅμως δὲν εἶναι μὲ κανένα τρόπο, καὶ μάλιστα γιατὶ ἄλλοι παραβαίνουν συγχρόνως ἕνα μεγαλύτερο ἀριθμὸ καθηκόντων, οἱ ἄλλοι ἕνα μικρότερο. Οἱ μὲν εἶναι τόσο φαῦλοι, ὥστε μὲ κανένα τρόπο δὲν μποροῦν νὰ φτάσουν στὴ σοφία, οἱ ἄλλοι θὰ εἶχαν τὴ δυνατότητα νὰ φτάσουν στὴ σοφία, ἂν προσπαθοῦσαν γι' αὐτό.

234α Διογένης Λαέρτιος 7.120:
Καὶ ἀρέσκονται νὰ θεωροῦν αὐτοὶ τὰ παραπτώματα, ὅτι εἶναι ἴσα, ὅπως λέει ὁ Χρύσιππος στὸ τέταρτο βιβλίο τῶν Ἠθικῶν ζητημάτων καὶ ὁ Περσαῖος καὶ ὁ Ζήνων. Γιατί, ἂν δὲν ὑπάρχει ἀληθινὸ περισσότερο ἀπὸ τὸ ἀληθινό, οὔτε ψεῦδος περισσότερο τοῦ ψεύδους, ἔτσι δὲν ὑπάρχει καὶ ἀπάτη περισσότερη τῆς ἀπάτης, οὔτε παράπτωμα περισσότερο τοῦ παραπτώματος. Γιατὶ κι' ἐκεῖνος ποὺ ἀπέχει ἀπὸ τὸν Κάνωβο ἑκατὸ στάδια, κι' ἐκεῖνος ποὺ ἀπέχει ἕνα, δὲν βρίσκονται οὔτε ὁ ἕνας οὔτε ὁ ἄλλος στὸν Κάνωβο, ἔτσι κι' ἐκεῖνος ποὺ σφάλλει (ἁμαρτάνει) περισσότερο ἢ λιγότερο κι' αὐτὸς δὲν κατορθώνει τὴν ἐκτέλεση τοῦ καθήκοντος.

234β Σέξτος Ἐμπειρικός, Πρὸς μαθηματικοὺς 7.422(Πρὸς λογικοὺς 1.422):
Ὅπως δηλαδὴ ὁ ἄνθρωπος, καθόσον εἶναι ἄνθρωπος, δὲν διαφέρει ἀπὸ

οὐδὲ λίθος λίθου, οὕτως οὔτε ἀκατάληπτος φαντασία ἀκαταλήπτου φαντασίας διενήνοχεν, ᾗ ἀκατάληπτός ἐστιν, οὔτε ψευδὴς ψευδοῦς, ᾗ ψευδής ἐστιν. κἀντεῦθεν ὁρμώμενοι οἱ περὶ τὸν Ζήνωνα ἐδίδασκον ὅτι ἴσα ἐστὶ τὰ ἁμαρτήματα.

234γ Diogenes Laertius 7.120:
Ἀρέσκει τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ ἁμαρτήματα, καθά φησι… Ζήνων.

234δ Stobaeus, Eclogae 2.7, 11[α], p. 93, 16:
Ἁμάρτημα παρὰ τὸν ὀρθὸν λόγον πραττόμενον, ἢ ἐν ᾧ παραλέλειπταί τι καθῆκον ὑπὸ λογικοῦ ζῴου.

8. ΠΕΡΙ ΣΠΟΥΔΑΙΩΝ ΚΑΙ ΦΑΥΛΩΝ

235 Stobaeus, Eclogae 2.7, 11 g (W. 2. 99) (Ἐκ τῆς Διδύμου ἐπιτομῆς):
Ἀρέσκει γὰρ τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωϊκοῖς φιλοσόφοις δύο γένη τῶν ἀνθρώπων εἶναι, τὸ μὲν τῶν σπουδαίων, τὸ δὲ τῶν φαύλων· καὶ τὸ μὲν τῶν σπουδαίων διὰ παντὸς τοῦ βίου χρῆσθαι ταῖς ἀρεταῖς, τὸ δὲ τῶν φαύλων ταῖς κακίαις· ὅθεν τὸ μὲν ἀεὶ κατορθοῦν ἐν ἅπασιν οἷς προστίθεται, τὸ δὲ ἁμαρτάνειν. Καὶ τὸν μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως καὶ κατὰ τὰς ἄλλας ἀρετάς· τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς. Καὶ τὸν μὲν σπουδαῖον μέγαν εἶναι καὶ ἁδρὸν καὶ ὑψηλὸν καὶ ἰσχυρόν. Μέγαν μέν, ὅτι δύναται ἐφικνεῖσθαι τῶν κατὰ προαίρεσιν ὄντων αὐτῷ καὶ προκειμένων· ἁδρὸν δέ, ὅτι ἐστὶν ηὐξημένος πάντοθεν· ὑψηλὸν δ' ὅτι τὴν ἐπιβάλλουσαν ἰσχὺν περιπεποίηται, ἀήττητος ὢν καὶ ἀκαταγώνιστος. Παρ' ὃ καὶ οὔτε ἀναγκάζεται ὑπό τινος οὔτε ἀναγκάζει τινά, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ' αὐτὸς βιάζει τινά, οὔτε δεσπόζει οὔτε δεσπόζεται, οὔτε κακοποιεῖ τινα οὔτ' αὐτὸς κακοποιεῖται, οὔτε κακοῖς περιπίπτει ⟨οὔτ' ἄλλον ποιεῖ κακοῖς περιπίπτειν⟩, οὔτ' ἐξαπατᾶται οὔτε ἐξαπατᾷ ἄλλον, οὔτε διαψεύδεται οὔτε ἀγνοεῖ οὔτε λανθάνει ἑαυτὸν οὔτε καθόλου ψεῦδος ὑπολαμβάνει· εὐδαίμων δ' ἐστὶ μάλιστα καὶ εὐτυχὴς καὶ μακάριος καὶ ὄλβιος καὶ εὐσεβὴς καὶ θεοφιλὴς καὶ ἀξιωματικός, βασιλικός τε καὶ στρατηγικὸς καὶ πολιτικὸς καὶ οἰκονομικὸς καὶ χρηματιστικός. Τοὺς δὲ φαύλους ἅπαντα τούτοις ἐναντία ἔχειν.

ἄνθρωπο, οὔτε ἡ πέτρα ἀπὸ πέτρα, ἔτσι οὔτε ἡ ἀκατάληπτη παράσταση δὲν διαφέρει ἀπὸ μιὰν ἄλλη ἀκατάληπτη παράσταση, καθόσον εἶναι ἀκατάληπτη, οὔτε ἡ ψευδὴς ἀπὸ ψευδή, ὡς πρὸς τὸ ὅτι εἶναι ψευδής. Κι' ἀπ' ἐδῶ ἀφορμώμενοι οἱ ὀπαδοὶ τοῦ Ζήνωνα ἐδίδασκαν, ὅτι τὰ σφάλματα (ἁμαρτήματα) εἶναι ἴσα.

234γ Διογένης Λαέρτιος 7.120:
Τοὺς ἀρέσει νὰ θεωροῦν τὰ ἁμαρτήματα ἴσα, ὅπως λέει… ὁ Ζήνων.

234δ Στοβαῖος, Ἐκλογαὶ 2.7, 11^{α}, p. 93, 16:
Ἁμάρτημα εἶναι αὐτὸ ποὺ πράττεται παρὰ τὸν ὀρθὸν λόγον ἢ αὐτὸ στὸ ὁποῖο ἔχει παραλειφθεῖ ἕνα καθῆκον ἀπὸ ἕνα λογικὸ ζῶο.

8. ΠΕΡΙ ΣΠΟΥΔΑΙΩΝ ΚΑΙ ΦΑΥΛΩΝ

235 Στοβαῖος, Ἐκλογαὶ 2.7, 11g (W. 2, 99) (Ἐκ τῆς Διδύμου ἐπιτομῆς):
Ὁ Ζήνων καὶ οἱ ἀπ' αὐτὸν προερχόμενοι Στωικοὶ φιλόσοφοι ἔχουν τὴν ἄποψη, ὅτι δύο εἶναι τὰ εἴδη τῶν ἀνθρώπων, τὸ μὲν ἕνα τῶν σπουδαίων, τὸ δὲ ἄλλο τῶν φαύλων· καὶ τὸ μὲν ἕνα εἶδος τῶν σπουδαίων χρησιμοποιεῖ σ' ὅλη του τὴ ζωὴ τὶς ἀρετές, τὸ δὲ ἄλλο τῶν φαύλων τὶς κακίες· γι' αὐτὸ τὸ ἕνα πράττει πάντοτε κατορθώνοντας τὸ τέλειο, τὸ δὲ ἄλλο σφάλλει. Καὶ ὁ μὲν σπουδαῖος χρησιμοποιώντας τὶς ἐμπειρίες τοῦ βίου, σὲ ὅσα πράττει, ὅλα τὰ πράττει καλά, μὲ ἀκρίβεια, φρόνιμα καὶ μὲ ἐγκράτεια καὶ σύμφωνα μὲ τὶς ἄλλες ἀρετές· ἐνῶ ὁ φαῦλος ἀντίθετα πράττει κακά. Καὶ ὁ μὲν σπουδαῖος εἶναι μεγάλος καὶ ἁδρὸς καὶ ὑψηλὸς καὶ ἰσχυρός. Μεγάλος, γιατὶ δύναται νὰ φτάσει ὅσα ἀποτελοῦν τὴν ἐκλογή του καὶ κεῖνται ἐνώπιόν του ὡς ἔπαθλα· εἶναι δὲ ἁδρὸς γιατὶ εἶναι ἀπὸ παντοῦ ἀνεπτυγμένος· καὶ εἶναι ὑψηλὸς γιατὶ ἔχει περιβληθεῖ μὲ τὴν ἀπαιτούμενη δύναμη ὄντας ἀήττητος καὶ ἀκαταγώνιστος. Γι' αὐτὸ καὶ οὔτε ἐξαναγκάζεται ἀπὸ κανένα οὔτε ἐξαναγκάζει κανένα, οὔτε ἐμποδίζεται οὔτε ἐμποδίζει, οὔτε ἐκβιάζεται ἀπὸ κανένα, οὔτε ἐκβιάζει, οὔτε ἐξουσιάζει οὔτε ἐξουσιάζεται, οὔτε κακοποιεῖ κανένα οὔτε ὁ ἴδιος κακοποιεῖται, οὔτε περιπίπτει σὲ κακά, οὔτε κάνει ὥστε νὰ πέσει ἄλλος σὲ κακά, οὔτε ἐξαπατᾶται οὔτε ἄλλον ἐξαπατᾶ, οὔτε συλλαμβάνεται νὰ λέγει ψευδὴ πράγματα, οὔτε ἀγνοεῖ οὔτε ἐνεργεῖ χωρὶς νὰ τὸ γνωρίζει, οὔτε σκέφτεται καθόλου τὸ ψέμα· εἶναι δὲ εὐδαίμων πάνω ἀπ' ὅλα καὶ εὐτυχισμένος καὶ μακάριος καὶ ὄλβιος καὶ εὐσεβὴς καὶ θεοφίλητος καὶ ἀξιοπρεπής, ἡγεμονικὸς καὶ ἄξιος στὴ στρατηγικὴ καὶ τὴν πολιτική, καλὸς χειριστὴς τῶν οἰκονομικῶν καὶ ἐμπορικός. Ἐνῶ οἱ φαῦλοι σὲ ὅλα αὐτὰ κάνουν τὰ ἀντίθετα.

236 Philo, Quod omnis probus liber 53 [453]:
Ὁ δὲ Ζήνων, εἰ καί τις ἄλλος ὑπ' ἀρετῆς ἀχθείς, νεανικώτερον ἀποδείκνυσι περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους, φησὶ γάρ· «οὐκ οἰμώξεται ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ; οὐκ ἄρ' ἐστιν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον». 97 [460]: ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι, ὅτι «θᾶττον ἂν ἀσκὸν βαπτίσαι τις πλήρη πνεύματος ἢ βιάσαιτο τῶν σπουδαίων ὁντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων»· ἀνένδοτος γὰρ ψυχὴ καὶ ἀήττητος, ἣν ὁ ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε.

237 Athenaeus 4.162d:
[Περσαῖος], ὃς περὶ ταῦτα τὴν διάνοιαν στρέφων πιστευθείς, ὥς φησιν Ἕρμιππος, ὑπ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον κωθωνιζόμενος ἐξέπεσεν καὶ αὐτῆς τῆς Κορίνθου, καταστρατηγηθεὶς ὑπὸ τοῦ Σικυωνίου Ἀράτου, ὁ πρότερον ἐν τοῖς διαλόγοις πρὸς Ζήνωνα διαμιλλώμενος ὡς ὁ σοφὸς πάντως ἂν εἴη καὶ στρατηγὸς ἀγαθός, μόνον τοῦτο διὰ τῶν ἔργων διαβεβαιωσάμενος ὁ καλὸς τοῦ Ζήνωνος οἰκετιεύς.

6. οἰκιτιεύς: Kaibel, ὁ κιτιεύς: cod.

238 Diogenes Laertius 7.121-123:
Μόνον τ' ἐλεύθερον [τὸν σοφόν], τοὺς δὲ φαύλους δούλους· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας. (122) εἶναι δὲ καὶ ἄλλην δουλείαν τὴν ἐν ὑποτάξει καὶ τρίτην τὴν ἐν κτήσει τε καὶ ὑποτάξει, ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὕτη. οὐ μόνον δ' ἐλευθέρους εἶναι τοὺς σοφούς, ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ τοῦ κυρίως κεχρῆσθαι Ζήνωνα τοῖς ὀνόμασιν· ἐγνωκέναι γάρ φησι δεῖν τὸν ἄρχοντα περὶ ἀγαθῶν καὶ κακῶν, μηδένα δὲ τῶν φαύλων ἐπίστασθαι ταῦτα. ὁμοίως δὲ καὶ ἀρχικοὺς δικαστικούς τε καὶ ῥητορικοὺς μόνους εἶναι, τῶν δὲ φαύλων οὐδένα. ἔτι καὶ ἀναμαρτήτους, τῷ ἀπεριπτώτους εἶναι ἁμαρτήματι. (123) ἀβλαβεῖς τ' εἶναι· οὐ γὰρ ἄλλους βλάπτειν οὔθ' αὑτούς. ἐλεήμονάς τε μὴ εἶναι συγγνώμην τ' ἔχειν μηδενί· μὴ γὰρ παριέναι τὰς ἐκ τοῦ νόμου ἐπιβαλλούσας κολάσεις, ἐπεὶ τό γ' εἴκειν καὶ ὁ ἔλεος αὐτὴ θ' ἡ ἐπιείκεια οὐδένειά ἐστι ψυχῆς πρὸς κολάσεις προσποιουμένης χρηστότητα· μηδ' οἴεσθαι σκληροτέρας αὐτὰς εἶναι. ἔτι τε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων παραδόξων, οἷον Χαιρώνεια καὶ ἀμπώτιδας καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα, ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ φασί,

236 Φίλων, Περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι 53 [453]:
Ὁ δὲ Ζήνων, ποὺ πάνω ἀπ' ὅλους ὁδηγήθηκε ἀπὸ τὴν ἀρετή, μὲ νεανικὴ παρόρμηση ἀποδεικνύει ὅτι οἱ φαῦλοι δὲν ἔχουν ἐξ ἴσου μὲ τοὺς σοφοὺς τὸ δικαίωμα νὰ ἀγορεύουν· λέγει δηλαδή: «ὁ φαῦλος δὲν θὰ κραυγάσει ἀπὸ δυσαρέσκεια, ἂν ἀντιλέγει στὸν σοφό; ἄρα δὲν ἔχει ὁ φαῦλος ἴσο δικαίωμα νὰ ἀγορεύει ὅπως ὁ σοφός». 97 [460]: Ἀξίζει νὰ ἀναφωνήσει κανεὶς αὐτό, ποὺ εἶπε ὁ Ζήνων, ὅτι «πιὸ γρήγορα θὰ μποροῦσε κανεὶς νὰ βυθίσει στὸ νερὸ ἕνα ἀσκὶ γεμάτο ἀέρα, παρὰ νὰ ἀναγκάσει κάποιον ἀπὸ τοὺς σοφοὺς νὰ πράξει κάτι παρὰ τὴ θέλησή του ἀπὸ τὰ πράγματα ποὺ δὲν βούλεται·» γιατὶ ἡ ψυχή, ποὺ τὴ νεύρωσε ὁ ὀρθὸς λόγος μὲ στέρεα δόγματα, εἶναι ἀνένδοτη καὶ ἀήττητη.

237 Ἀθήναιος 4.162d:
(Ὁ Περσαῖος), ποὺ εἶχε τὸ νοῦ του στραμμένο σ' αὐτὰ (τὰ συμποσιακά), ὅταν, ὅπως λέει ὁ Ἕρμιππος, τοῦ ἐμπιστεύθηκε ὁ Ἀντίγονος τὸν Ἀκροκόρινθο, μεθυσμένος διώχτηκε καὶ ἀπ' αὐτὴ τὴν ἴδια τὴν Κόρινθο, ἀφοῦ νικήθηκε στρατηγικὰ ἀπὸ τὸν Ἄρατο τὸν Σικυώνιο, αὐτὸς ποὺ πρὶν συναγωνιζόταν τὸν Ζήνωνα στοὺς διαλόγους του, ὅτι ὁ σοφὸς ὁπωσδήποτε θὰ ἦταν καὶ καλὸς στρατηγός, μόνο ὅμως αὐτὸ (πὼς δὲν ἦταν σοφὸς) μὲ τὰ ἔργα του διαβεβαίωσε ὁ καλὸς τοῦ Ζήνωνα σπιτικὸς δοῦλος.

238 Διογένης Λαέρτιος 7.121-123:
Καὶ λένε ὅτι μόνος ἐλεύθερος εἶναι ὁ σοφός, ἐνῶ οἱ φαῦλοι εἶναι δοῦλοι· γιατὶ ἡ ἐλευθερία εἶναι ἡ ἐξουσία τῆς αὐτόνομης πράξης, ἐνῶ ἡ δουλεία εἶναι στέρηση αὐτῆς τῆς αὐτόνομης πράξης. (122) Ὑπάρχει δὲ καὶ ἄλλη δουλεία, αὐτὴ ποὺ βρίσκεται στὴν ὑποταγὴ καὶ τρίτη αὐτὴ ποὺ βρίσκεται στὴν κτήση καὶ τὴν ὑποταγή, στὴν ὁποία ἀντιτίθεται ἡ δεσποτεία, ποὺ κι' αὐτὴ εἶναι φαύλη. Οἱ σοφοὶ ὅμως δὲν εἶναι μόνον ἐλεύθεροι, ἀλλὰ καὶ βασιλεῖς, ἐφ' ὅσον ἡ βασιλεία εἶναι ἀρχή, ποὺ δὲν δίνει λόγο σὲ κανένα, ποὺ μὲ μόνο τοὺς σοφοὺς μπορεῖ νὰ συνδεθεῖ, ὅπως λέει ὁ Χρύσιππος στὸ βιβλίο του «Περὶ τοῦ ὅτι ὁ Ζήνων χρησιμοποίησε κυρίως τὶς ὀνομασίες»· γιατὶ λέει, ὅτι ὁ ἄρχων πρέπει νὰ γνωρίζει γιὰ τὰ ἀγαθὰ καὶ τὰ κακά, ἐνῶ κανεὶς ἀπὸ τοὺς φαύλους δὲν τὰ γνωρίζει αὐτά. Παρόμοια δὲ λένε, ὅτι οἱ σοφοὶ μόνον εἶναι καὶ σωστοὶ κυβερνῆτες καὶ δικαστὲς καὶ ρήτορες, ἐνῶ ἀπὸ τοὺς μὴ σοφοὺς κανένας. Ἀκόμα εἶναι καὶ ἀλάνθαστοι, γιατὶ δὲν περιπίπτουν σὲ σφάλματα. (123) Κι' ὅτι εἶναι ἀβλαβεῖς· γιατὶ δὲν βλάπτουν ἄλλους, οὔτε τοὺς ἑαυτούς των. Καὶ δὲν εἶναι σπλαχνικοὶ κι' οὔτε συγχωροῦν κανένα· γιατὶ δὲν μετριάζουν τὶς τιμωρίες, ποὺ ἐπιβάλλουν οἱ νόμοι, διότι τὸ νὰ ὑποχωρεῖ κανεὶς καὶ νὰ νιώθει ἔλεος κι' αὐτὴ ἡ ἴδια ἡ ἐπιείκεια εἶναι μιὰ μηδαμινότητα τῆς ψυχῆς ποὺ προσποιεῖ-

βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ φύσει καὶ πρακτικός. τὴν μέντοι
ἄσκησιν ἀποδέξεται ὑπὲρ τοῦ σώματος ὑπομονῆς.

238α Plutarchus, Moralia 33 D:
Καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους [TGF 789],
ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται
κείνου ’στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ
μετέγραφεν,
οὐκ ἔστι δοῦλος, ἢν ἐλεύθερος μόλῃ,
τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεᾶ καὶ μεγαλόφρονα καὶ ἀταπεί-
νωτον.

238β Diogenes Laertius 7.117:
Φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφόν, διὰ τὸν ἀνέμπτωτον εἶναι· εἶναι δὲ
καὶ ἄλλον ἀπαθῆ τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ.

239 Plutarchus, De profectibus in virtute 12:
Ὅρα δὴ καὶ τὸ τοῦ Ζήνωνος ὁποῖόν ἐστιν· ἠξίου γὰρ ἀπὸ τῶν ὀνείρων
ἕκαστον ἑαυτοῦ συναισθάνεσθαι προκόπτοντος, εἰ μήτε ἡδόμενον αἰ-
σχρῷ τινι ἑαυτὸν μήτε τι προσιέμενον ἢ πράττοντα τῶν δεινῶν καὶ ἀδί-
κων ὁρᾷ κατὰ τοὺς ὕπνους ἀλλ’ οἷον ἐν βυθῷ γαλήνης ἀκλύστῳ κατα-
φανεῖ διαλάμπει τῆς ψυχῆς τὸ φανταστικὸν καὶ παθητικὸν ὑπὸ τοῦ λό-
γου διακεχυμένον.

240 Clemens Alexandrinus, Stromata 2.20.125 P. p. 494, S. p. 178:
Καλῶς ὁ Ζήνων ἐπὶ τῶν Ἰνδῶν ἔλεγεν ἕνα Ἰνδὸν παροπτώμενον ἐθέλειν
⟨ἂν⟩ ἰδεῖν ἢ πάσας τὰς περὶ πόνου ἀποδείξεις μαθεῖν.

241 Galenus, De cognitione animi morbis 5.13 Kühn:
Οὕτω γοῦν καὶ Ζήνων ἠξίου πάντα πράττειν ἡμᾶς ἀσφαλῶς, ὡς ἀπο-
λογησαμένους ὀλίγον ὕστερον παιδαγωγοῖς· ὠνόμαζε γὰρ οὕτως ἐκεῖ-
νος ὁ ἀνὴρ τοὺς πολλοὺς τῶν ἀνθρώπων ἑτοίμους ὄντας τοῖς πέλας
ἐπιτιμᾶν κἂν μηδεὶς αὐτοὺς παρακαλῇ.

ται καλωσύνη ὡς πρὸς τὶς τιμωρίες· οὔτε νὰ νομίζει ὅτι αὐτὲς εἶναι σκληρότερες. Ἀκόμη καὶ ὁ σοφὸς δὲν θαυμάζει τίποτε ἀπ' ὅσα φαίνονται παράδοξα, ὅπως τὰ Χαρώνεια βάραθρα καὶ τὶς ἀμπώτιδες καὶ τὶς πηγὲς τῶν θερμῶν ὑδάτων καὶ τὰ ἀναφυσήματα τῆς φωτιᾶς τῶν ἡφαιστείων. Ὡστόσο λένε, ὅτι οὔτε καὶ στὴν ἐρημιὰ δὲν θὰ ζήσει ὁ σοφός· γιατὶ εἶναι ἀπὸ τὴ φύση φτιαγμένος γιὰ τὴν κοινωνία καὶ τὴν πράξη. Τὴ σκληρὴ ἄσκηση ὅμως θὰ τὴ δεχθεῖ γιὰ χάρη τῆς σωματικῆς ἀντοχῆς.

238α Πλούταρχος, Ἠθικὰ 33 D:
Κι' ὁ Ζήνων διορθώνοντας τὸν στίχο τοῦ Σοφοκλῆ:
«ὅποιος τραβᾶ καὶ πάει σὲ τύραννο
ἐκείνου δοῦλος εἶναι κι ἂς πάει ἐλεύθερος»
τὸ μετέτρεπε
«δὲν εἶναι δοῦλος, ἂν πάει ἐλεύθερος»,
ὑποδηλώνοντας μαζὶ μὲ τὸν ἐλεύθερο καὶ τὸν ἄφοβο καὶ τὸν μεγαλόψυχο καὶ τὸν ἀταπείνωτο.

238β Διογένης Λαέρτιος 7.117:
Λένε ἐπίσης, ὅτι ὁ σοφὸς εἶναι ἀπαθής, γιατὶ δὲν ἐμπίπτει σὲ τέτοιες ταραχές. Καὶ μὲ ἄλλη σημασία εἶναι ἀπαθὴς ὁ φαῦλος, ὅταν αὐτὸ σημαίνει τὸν σκληρὸ καὶ τὸν ἄτεγκτο.

239 Πλούταρχος, Περὶ προόδου ἐν ἀρετῇ 12:
Δὲς κι' αὐτό, ποὺ λέει ὁ Ζήνων, ποιὸ εἶναι· γιατὶ εἶχε τὴν ἀξίωση ὁ καθένας στὰ ὄνειρά του νὰ ἔχει συναίσθηση τοῦ ἑαυτοῦ του, ὅταν προκόπτει, ἂν μήτε εὐχαριστιέται μὲ κάτι αἰσχρό, οὔτε βλέπει στὸν ὕπνο του τὸν ἑαυτό του νὰ προσεγγίζει ἢ νὰ πράττει κάτι κακὸ ἢ ἄδικο, ἀλλὰ ἄν, ὅπως σ' ἕνα βυθὸ γαλήνης ἀτάραχης, διαυγοῦς, διαλάμπει ἡ παραστατικὴ καὶ ἡ παθητικὴ δύναμη τῆς ψυχῆς διάχυτο ἔχοντας μέσα της τὸν λόγο.

240 Κλήμης Ἀλεξανδρεύς, Στρωματεῖς 2.20, 125 P. p. 494, S. p. 178:
Καλὰ ἔλεγε ὁ Ζήνων γιὰ τοὺς Ἰνδούς, ὅτι θὰ ἤθελε νὰ δεῖ ἕναν Ἰνδὸ νὰ ψήνεται παρὰ νὰ μάθει ὅλες τὶς σχετικὲς μὲ τὸν πόνο ἀποδείξεις.

241 Γαληνός, Περὶ διαγνώσεως 5.13 Kühn:
Ἔτσι λοιπὸν ὁ Ζήνων εἶχε τὴν ἀξίωση ὅλα νὰ τὰ πράττουμε χωρὶς σφάλματα, ὡς ἐὰν νὰ πρόκειται νὰ ἀπολογηθοῦμε λίγο πιὸ ὕστερα στοὺς παιδαγωγούς μας· γιατὶ ἔτσι χαρακτήριζε ἐκεῖνος ὁ ἄνδρας τοὺς περισσότερους ἀπὸ τοὺς ἀνθρώπους ὅτι ἦταν ἕτοιμοι νὰ ψέγουν τοὺς πλησίον τους ἔστω κι' ἂν κανένας δὲν τοὺς προκαλεῖ.

242 Diogenes Laertius 7.130:
Εὐλόγως τέ φασι ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφόν. Καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι ἢ πηρώσεσιν ἢ νόσοις ἀνιάτοις.

9. ΔΙΑΤΑΞΕΙΣ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΤΟΥ ΖΗΝΩΝΟΣ

243 Diogenes Laertius 7.32-34:
Ἔνιοι μέντοι, ἐξ ὧν εἰσιν οἱ περὶ Κάσσιον τὸν Σκεπτικόν, ἐν πολλοῖς κατηγοροῦντες τοῦ Ζήνωνος, πρῶτον μὲν τὴν ἐγκύκλιον παιδείαν ἄχρηστον ἀποφαίνειν λέγουσιν ἐν ἀρχῇ τῆς Πολιτείας, δεύτερον ἐχθροὺς καὶ πολεμίους καὶ δούλους καὶ ἀλλοτρίους λέγειν αὐτὸν ἀλλήλων εἶναι πάντας τοὺς μὴ σπουδαίους, καὶ γονεῖς τέκνων καὶ ἀδελφοὺς ἀδελφῶν ⟨καὶ⟩ οἰκείους οἰκείων. (33) Πάλιν ἐν τῇ Πολιτείᾳ παριστάντα πολίτας καὶ φίλους καὶ οἰκείους καὶ ἐλευθέρους τοὺς σπουδαίους μόνον, ὥστε τοῖς Στωικοῖς οἱ γονεῖς καὶ τὰ τέκνα ἐχθροί· οὐ γάρ εἰσι σοφοί. κοινάς τε τὰς γυναῖκας δογματίζειν ὁμοίως ἐν τῇ Πολιτείᾳ καὶ κατὰ τοὺς διακοσίους ⟨στίχους⟩ μήθ' ἱερὰ μήτε δικαστήρια μήτε γυμνάσια ἐν ταῖς πόλεσιν οἰκοδομεῖσθαι, περί τε νομίσματος οὕτως γράφειν· «νόμισμα δ' οὔτ' ἀλλαγῆς ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν οὔτ' ἀποδημίας ἕνεκεν». καὶ ἐσθῆτι δὲ τῇ αὐτῇ κελεύει χρῆσθαι καὶ ἄνδρας καὶ γυναῖκας καὶ μηδὲν μόριον ἀποκεκρύφθαι. (34) ὅτι δ' αὐτοῦ ἐστιν ἡ Πολιτεία καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας φησί.

244 Clemens Alexandrinus, Stromata 5.12, 76, p. 691 P. 249 S.:
Λέγει δὲ καὶ ὁ Ζήνων, ὁ τῆς Στωικῆς κτίστης αἱρέσεως, ἐν τῷ τῆς πολιτείας βιβλίῳ μήτε ναοὺς δεῖν ποιεῖν μήτε ἀγάλματα· μηδὲν γὰρ εἶναι τῶν θεῶν ἄξιον κατασκεύασμα, καὶ γράφειν οὐ δέδιεν αὐταῖς λέξεσι τάδε· ἱερά τε οἰκοδομεῖν οὐδὲν δεήσει· ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον, καὶ ἅγιον οὐδὲν χρὴ νομίζειν, οὐδὲν δὲ πολλοῦ ἄξιον καὶ ἅγιον οἰκοδόμων ἔργον καὶ βαναύσων.

244α Stobaeus, Eclogae 43, 88:
Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς.

242 Διογένης Λαέρτιος 7.130:
Λένε, ὅτι ὁ σοφὸς γιὰ εὔλογη αἰτία θὰ προκαλέσει τὴν ἔξοδό του ἀπὸ τὴ ζωή, καὶ γιὰ χάρη τῆς πατρίδος καὶ γιὰ χάρη τῶν φίλων ἢ ἂν ὑποφέρει ἀπὸ ἀνυπόφορο πόνο, ἀκρωτηριασμὸ ἢ ἀνίατες ἀρρώστειες.

9. ΔΙΑΤΑΞΕΙΣ ΤΗΣ «ΠΟΛΙΤΕΙΑΣ» ΤΟΥ ΖΗΝΩΝΟΣ

243 Διογένης Λαέρτιος 7.32-34:
Μερικοὶ ὡστόσο, ἀνάμεσα στοὺς ὁποίους εἶναι ὁ Κάσσιος ὁ Σκεπτικὸς καὶ οἱ μαθητές του, κατηγορώντας σὲ πολλὰ τὸν Ζήνωνα, λένε ὅτι πρῶτα θεωρεῖ τὴν ἐγκύκλιο παιδεία στὴν ἀρχὴ τῆς Πολιτείας του ἄχρηστη, δεύτερο λέγει ὅτι οἱ μὴ σοφοὶ εἶναι ὅλοι τους ἐχθροὶ καὶ ἀνταγωνιζόμενοι καὶ δοῦλοι καὶ ξένοι μεταξύ τους καὶ οἱ γονεῖς πρὸς τὰ παιδιά τους καὶ οἱ ἀδελφοὶ πρὸς τοὺς ἀδελφούς των καὶ οἱ συγγενεῖς πρὸς τοὺς συγγενεῖς. (33) Πάλι στὴν Πολιτεία (τὸν κατηγοροῦν), ὅτι παρουσίασε μόνο τοὺς σπουδαίους, ὅτι εἶναι πολίτες καὶ φίλοι καὶ συγγενεῖς καὶ ἐλεύθεροι, ὥστε στοὺς Στωικοὺς οἱ γονεῖς καὶ τὰ παιδιὰ νὰ εἶναι ἐχθροί· γιατὶ δὲν εἶναι σοφοί. Καὶ λένε, ὅτι στὴν Πολιτεία του διατυπώνει τὸ δόγμα οἱ γυναῖκες νὰ εἶναι κοινὲς καὶ σὲ διακόσιους στίχους λέει, ὅτι δὲν πρέπει νὰ κτίζονται στὶς πόλεις οὔτε ἱερά, οὔτε δικαστήρια, οὔτε γυμναστήρια. Γιὰ τὸ νόμισμα γράφει τὰ ἑξῆς· «τὸ νόμισμα δὲν πρέπει νὰ τὸ κατασκευάζουμε οὔτε χάριν ἀνταλλαγῆς οὔτε γιὰ ταξίδι στὸ ἐξωτερικό». Καὶ παραγγέλλει τὸ ἴδιο ἔνδυμα νὰ χρησιμοποιοῦν καὶ οἱ ἄνδρες καὶ οἱ γυναῖκες καὶ κανένα μέρος τοῦ σώματός των νὰ μὴν εἶναι κρυμμένο. (34) Ὅτι δὲ ἡ Πολιτεία εἶναι αὐτοῦ τοῦ ἴδιου τοῦ Ζήνωνος, τὸ λέει καὶ ὁ Χρύσιππος στὸ βιβλίο του Περὶ Πολιτείας.

244 Κλήμης Ἀλεξανδρεύς, Στρωματεῖς 5.12, 76, p. 691 P. 249 S.:
Ὁ δὲ Ζήνων, ὁ ἱδρυτὴς τῆς σχολῆς τῶν Στωικῶν, λέει στὸ βιβλίο τῆς Πολιτείας, ὅτι δὲν πρέπει οὔτε ναοὺς νὰ κτίζουμε, οὔτε ἀγάλματα· γιατὶ τίποτε ἀπ' αὐτὰ δὲν εἶναι ἄξιο κατασκεύασμα γιὰ τοὺς θεούς, καὶ δὲν ὑπάρχει φόβος γιὰ νὰ γράψει κανεὶς μὲ τὶς ἴδιες αὐτὲς λέξεις τὰ ἑξῆς· καὶ νὰ οἰκοδομήσει κανεὶς ἱερὰ δὲν θὰ χρειασθεῖ καθόλου· γιατὶ τὸ ἱερὸ δὲν ἀξίζει τίποτε καὶ δὲν πρέπει νὰ τὸ θεωροῦμε ἅγιο· ἀφοῦ δὲν ἔχει καμιὰν ἀξία οὔτε εἶναι ἅγιο τὸ ἔργο οἰκοδόμων καὶ βαναύσων ἀνθρώπων.

244α Στοβαῖος, Ἐκλογαὶ 43, 88:
Ὁ Ζήνων εἶπε, ὅτι πρέπει τὶς πόλεις νὰ τὶς κοσμοῦμε ὄχι μὲ ἀναθήματα ἀλλὰ μὲ τὶς ἀρετὲς αὐτῶν, ποὺ τὶς κατοικοῦν.

244β Plutarchus, Moralia 1034B (De stoicorum repugnantiis 4):
Ἔτι δόγμα Ζήνωνός ἐστιν «ἱερὰ θεῶν μὴ οἰκοδομεῖν· ἱερὸν γὰρ μὴ πολλοῦ ἄξιον καὶ ἅγιον οὐκ ἔστιν· οἰκοδόμων δ' ἔργον καὶ βαναύσων οὐδέν ἐστι πολλοῦ ἄξιον».

244γ Origenes, Contra Celsum 1.5:
Προσθήσομεν δὲ καὶ ἡμεῖς ὅτι καὶ Ζήνων ὁ Κιτιεὺς ἐν τῇ Πολιτείᾳ φησίν· «ἱερά τε οἰκοδομεῖν οὐδὲν δεήσει· ἱερὸν γὰρ οὐδὲν χρὴ νομίζειν οὐδὲ πολλοῦ ἄξιον καὶ ἅγιον, οἰκοδόμων τε ἔργον καὶ βαναύσων.»

244δ Theodoritus, Graecarum affectionum curatio 3.74:
Ταῦτα ξυνορῶν καὶ Ζήνων ὁ Κιτιεὺς ἐν τῷ τῆς Πολιτείας ἀπαγορεύει βιβλίῳ καὶ ναοὺς οἰκοδομεῖν καὶ ἀγάλματα τεκταίνειν· οὐδὲν γὰρ εἶναι τούτων φησὶν θεῶν ἄξιον κατασκεύασμα.

244ε Epiphanius, Adversus haeres. 3, Περὶ πίστεως 9 (Dindorf 3, p. 566):
Ζήνων ὁ Κιτιεὺς ὁ Στωικὸς ἔφη μὴ δεῖν θεοῖς οἰκοδομεῖν ἱερά, ἀλλ' ἔχειν τὸ θεῖον ἐν μόνῳ τῷ νῷ, μᾶλλον δὲ θεὸν ἡγεῖσθαι τὸν νοῦν· ἔστι γὰρ ἀθάνατος… ἔλεγε δὲ πάντα διοικεῖν τὸ θεῖον. τὰς δὲ αἰτίας τῶν πραγμάτων πῆ μὲν ἐφ' ἡμῖν, πῆ δὲ οὐκ ἐφ' ἡμῖν, τουτέστι τὰ μὲν τῶν πραγμάτων ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν.

245 Plutarchus, Moralia 329A, B (De Alexandri virtute 1.6):
Καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τῶν Στωικῶν αἱρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει κεφάλαιον ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν, ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. Τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος.

246 Diogenes Laertius 7.121:
Καὶ γαμήσειν [τὸν σοφόν], ὡς ὁ Ζήνων φησὶν ἐν Πολιτείᾳ, καὶ παιδοποιήσεσθαι.

247 Diogenes Laertius 7.131:
Ἀρέσκει δὲ αὐτοῖς καὶ κοινὰς τὰς γυναῖκας δεῖν παρὰ τοῖς σοφοῖς, ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ Πολι-

244β Πλούταρχος, Ἠθικὰ 1034B (Περὶ στωικῶν ἐναντιωμάτων 4):
Ἀκόμα δόγμα τοῦ Ζήνωνος εἶναι «νὰ μὴν οἰκοδομοῦμε ἱερὰ θεῶν· γιατὶ δὲν ὑπάρχει ἱερό, ποὺ νὰ μὴν εἶναι πολὺ ἀξιοσέβαστο καὶ ἅγιο· ἐνῶ κανένα ἔργο οἰκοδόμων καὶ τεχνιτῶν δὲν εἶναι πολὺ ἀξιοσέβαστο.»

244γ Ὠριγένης, Κατὰ Κέλσου 1.5:
Θὰ προσθέσουμε δὲ κι' ἐμεῖς ὅτι ὁ Ζήνων ὁ Κιτιεὺς στὴν Πολιτεία του λέει: «δὲν θὰ χρειαστεῖ καθόλου νὰ οἰκοδομήσουμε ἱερά· γιατὶ ἱερὸ κανένα δὲν πρέπει νὰ νομίζουμε, ὅτι εἶναι πολὺ ἀξιοσέβαστο καὶ ἅγιο, ποὺ εἶναι ἔργο οἰκοδόμων καὶ τεχνιτῶν.»

244δ Θεοδώρητος, Ἑλληνικῶν παθημάτων θεραπευτικὴ 3.74:
Αὐτὰ ἔχοντας ὑπόψη ὁ Ζήνων ὁ Κιτιεὺς στὸ βιβλίο του Περὶ Πολιτείας ἀπαγορεύει νὰ οἰκοδομοῦμε ναοὺς καὶ νὰ κατασκευάζουμε ἀγάλματα· γιατὶ κανένα ἀπ' αὐτά, λέει, δὲν εἶναι ἄξιο τῶν θεῶν κατασκεύασμα.

244ε Ἐπιφάνος, Κατὰ αἱρέσεων 3, Περὶ πίστεως 9 (Dindorf 3, p. 566):
Ὁ Ζήνων ὁ Κιτιεὺς ὁ Στωικὸς εἶπε, ὅτι δὲν πρέπει νὰ οἰκοδομοῦμε ἱερὰ γιὰ τοὺς θεούς, ἀλλὰ νὰ ἔχουμε τὸ θεῖο μόνο στὸν νοῦ μας, ἢ μᾶλλον νὰ θεωροῦμε τὸν νοῦ σὰν θεό· γιατὶ εἶναι ἀθάνατος… ἔλεγε δὲ ὅτι τὸ θεῖο διοικεῖ τὰ πάντα. Καὶ ὅτι οἱ αἰτίες τῶν πραγμάτων, πότε ἐξαρτῶνται ἀπὸ μᾶς καὶ πότε δὲν ἐξαρτῶνται ἀπὸ μᾶς, δηλαδὴ ἄλλα ἀπὸ τὰ πράγματα εἶναι στὴ δική μας θέληση καὶ ἄλλα δὲν εἶναι στὴ δική μας θέληση.

245 Πλούταρχος, Ἠθικὰ 329A, B (Περὶ Ἀλεξάνδρου τύχης 1.6):
Κι' ἀλήθεια, ἡ πολυθαύμαστη Πολιτεία τοῦ ἱδρυτῆ τῆς Σχολῆς τῶν Στωικῶν Ζήνωνα σὲ αὐτὸ τὸ κύριο σημεῖο συγκλίνει: νὰ μὴν κατοικοῦμε χωρισμένοι σὲ πόλεις, οὔτε σὲ δήμους μὲ ἰδιαίτερους ὁ καθένας νόμους, ἀλλὰ ὅλοι οἱ ἄνθρωποι νὰ θεωροῦμε ὅτι εἶναι συνδημότες καὶ συμπολίτες, κι' ὁ βίος τους νὰ εἶναι κοινὸς καὶ ὁ κόσμος ὅπως ἀκριβῶς μιὰ ἀγέλη, ποὺ βόσκεται καὶ τρέφεται μαζὶ ὑπὸ ἕνα κοινὸ νόμο. Αὐτὸ τὸ ἔγραψε ὁ Ζήνων πλάθοντάς το σὰν ἕνα ὄνειρο ἢ μιὰ εἰκόνα τῆς εὔνομης πολιτείας τοῦ φιλοσόφου.

246 Διογένης Λαέρτιος 7.121:
Καὶ θὰ παντρευτεῖ ὁ σοφός, ὅπως λέει ὁ Ζήνων στὴν Πολιτεία του, καὶ θὰ κάνει παιδιά.

247 Διογένης Λαέρτιος 7.131:
Διατυπώνουν τὴν ἄποψη ὅτι οἱ γυναῖκες πρέπει νὰ εἶναι κοινὲς στοὺς σοφούς, ὥστε νὰ μπορεῖ νὰ σμίγει ὁ ὁποιοσδήποτε μὲ ὁποιαδήποτε συ-

τείᾳ… πάντας τε παῖδας ἐπίσης στέρξομεν πατέρων τρόπου καὶ ἡ ἐπὶ μοιχείᾳ ζηλοτυπία περιαιρεθήσεται.

248 Origenes, Contra Celsum 7.63:
Ἐκκλίνουσι τὸ μοιχεύειν οἱ τὰ τοῦ Κιτιέως Ζήνωνος φιλοσοφοῦντες… διὰ τὸ κοινωνικὸν καὶ παρὰ φύσιν εἶναι τῷ λογικῷ ζῴῳ νοθεύειν τὴν ὑπὸ τῶν νόμων ἑτέρῳ προσκαταληφθεῖσαν γυναῖκα καὶ φθείρειν τὸν ἄλλου ἀνθρώπου οἶκον.

249 Athenaeus 8.561 c:
Ποντιανὸς δὲ Ζήνωνα ἔφη τὸν Κιτιέα ὑπολαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι φιλίας καὶ ἐλευθερίας ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικόν, ἄλλου δ' οὐδενός. διὸ καὶ ἐν τῇ πολιτείᾳ ἔφη «τὸν Ἔρωτα θεὸν εἶναι, συνεργὸν ὑπάρχοντα πρὸς τὴν τῆς πόλεως σωτηρίαν.»

250 Plutarchus, Vita Lycurgi 31:
Ἀλλ' ὥσπερ ἑνὸς ἀνδρὸς βίῳ καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν ἀπ' ἀρετῆς ἐγγίγνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὑτήν, πρὸς τοῦτο συνέταξε καὶ συνήρμοσεν, ὅπως ἐλευθέριοι καὶ αὐτάρκεις γενόμενοι καὶ σωφρονοῦντες ἐπὶ πλεῖστον χρόνον διατελῶσι. Ταύτην καὶ Πλάτων ἔλαβε τῆς Πολιτείας ὑπόθεσιν καὶ Διογένης καὶ Ζήνων.

251 Diogenes Laertius 7.129:
Καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ Πολιτείᾳ.

252 Sextus Empiricus, Adversus mathematicos 11.190 (Πρὸς ἠθικ. 190):
Καὶ μὴν περὶ μὲν παίδων ἀγωγῆς ἐν ταῖς Διατριβαῖς ὁ αἱρεσιάρχης Ζήνων τοιαῦτά τινα διέξεισιν. «διαμηρίζειν δὲ μηδὲν μᾶλλον μηδὲ ἧσσον παιδικὰ ἢ μὴ παιδικά, μηδὲ θήλεα ἢ ἄρρενα· οὐ γὰρ ἄλλα παιδικοῖς ἢ μὴ παιδικοῖς, οὐδὲ θηλείαις ἢ ἄρρεσιν, ἀλλὰ τὰ αὐτὰ πρέπει τε καὶ πρέποντα ἐστίν», καὶ πάλιν· «διαμεμήρικας τὸν ἐρώμενον; οὐκ ἔγωγε – πότερον οὐκ ἐπεθύμησας αὐτὸν διαμηρίσαι;καὶ μάλα. ἀλλὰ ἐπιθυμήσας παρασχεῖν σοι αὐτὸν [[ἢ]] ἐφοβήθης κελεῦσαι; μὰ Δι'. ἀλλ' ἐκέλευσας; καὶ μάλα. εἶθ' οὐχ ὑπηρέτησέ σοι; οὐ γάρ.»

ναντήσει, ὅπως λέει ὁ Ζήνων στὴν Πολιτεία του. Καὶ ὅλα τὰ παιδιὰ θὰ τὰ ἀγαποῦμε σὰν πατέρες καὶ θὰ ἐξαλειφθεῖ ἡ ζηλοτυπία ἐξ αἰτίας τῆς μοιχείας.

248 Ὠριγένης, Κατὰ Κέλσου 7.63:
Ἀποφεύγουν τὴ μοιχεία αὐτοὶ ποὺ ἀκολουθοῦν τὴ φιλοσοφία τοῦ Ζήνωνος τοῦ Κιτιέως… γιατὶ εἶναι κοινωνικὴ ἀρχὴ καὶ παρὰ τὴ φύση νὰ φθείρει τὸ λογικὸ ζῶο τὴ γυναίκα, ποὺ ἀπὸ τοὺς νόμους ἔχει δοθεῖ σὲ ἄλλον ἄνδρα, καὶ νὰ καταστρέφει τὸ σπίτι τοῦ ἄλλου ἀνθρώπου.

249 Ἀθήναιος 8.561c:
Ὁ Ποντιανὸς εἶπε ὅτι ὁ Ζήνων ὁ Κιτιεὺς θεωρεῖ, ὅτι ὁ Ἔρωτας εἶναι θεὸς τῆς φιλίας καὶ τῆς ἐλευθερίας καὶ δημιουργὸς τῆς ὁμόνοιας κι' ἄλλου κανενός. Γι' αὐτὸ καὶ στὴν Πολιτεία εἶπε, ὅτι «ὁ Ἔρωτας εἶναι θεός, συνεργὸς στὴ σωτηρία τῆς πόλης.»

250 Πλούταρχος, Λυκοῦργος 31:
Ὅπως καὶ στὴ ζωὴ ἑνὸς μόνον ἀνθρώπου, ἔτσι θεωροῦσε ὅτι καὶ στὴ ζωὴ ὅλης τῆς πόλης ἡ εὐδαιμονία γεννιέται ἀπὸ τὴν ἀρετὴ καὶ τὴν ὁμόνοια μὲ τὸν ἑαυτό της. Πρὸς τὸν σκοπὸν αὐτὸ τὴν συνέταξε καὶ τὴν ἐναρμόνισε, ὥστε οἱ πολίτες, ἀφοῦ γίνουν ἐλεύθεροι καὶ αὐτάρκεις, νὰ ζοῦν μιὰ ζωὴ ἐπὶ μακρὸ χρόνο ἀσκώντας αὐτοσυγκράτηση. Αὐτὴν εἶναι ποὺ ὁ Πλάτων ἔλαβε ὡς ἀρχὴ τῆς Πολιτείας του καὶ ὁ Διογένης καὶ ὁ Ζήνων.

251 Διογένης Λαέρτιος 7.129:
Καὶ ὁ σοφὸς θὰ ἐρωτευθεῖ τοὺς νέους, ποὺ δείχνουν μὲ τὴν ὄψη τους τὴ φυσικὴ κλίση πρὸς τὴν ἀρετή, ὅπως λέει ὁ Ζήνων στὴν Πολιτεία του.

252 Σέξτος Ἐμπειρικός, Πρὸς μαθηματικοὺς 11.190:
Κι' ἀλήθεια, σχετικὰ μὲ τὴν ἀγωγὴ τῶν παιδιῶν στὶς Διατριβές του ὁ σχολάρχης Ζήνων διαπραγματεύεται τέτοια περίπου: «Νὰ σμίγει κανεὶς μὲ τ' ἀγαπημένα παιδιὰ ἢ τὰ μὴ ἀγαπημένα δὲν εἶναι περισσότερο ἢ λιγότερο, οὔτε μὲ τὰ θηλυκὰ οὔτε τ' ἀρσενικά· γιατὶ δὲν εἶναι ἄλλα ποὺ πρέπουν στ' ἀγαπημένα παιδιὰ ἢ τὰ μὴ ἀγαπημένα, οὔτε στὰ θηλυκὰ οὔτε τ' ἀρσενικά, ἀλλὰ εἶναι τὰ ἴδια ποὺ ἁρμόζουν καὶ εἶναι πρέποντα». Καὶ πάλι: «Ἔσμιξες μὲ τὸν ἀγαπημένο σου; Ἐγὼ ὄχι. Τί, δὲν πόθησες νὰ σμίξεις μαζί του; Καὶ πολύ. Ἀλλὰ παρ' ὅλο ποὺ πεθύμησες νὰ σοῦ δοθεῖ, φοβήθηκες νὰ τὸν παρακινήσεις; Μὰ τὸν Δία, ὄχι. Ἀλλὰ τὸν παρακίνησες; Καὶ πολύ. Κι' ἔπειτα δὲν σοῦ χαρίστηκε; Ὄχι, καθόλου.»

253 Sextus Empiricus, Pyrrhoniae hypotyposes 3.245:
Οἷον γοῦν ὁ αἱρεσιάρχης αὐτῶν Ζήνων ἐν ταῖς Διατριβαῖς φησὶ περὶ παίδων ἀγωγῆς ἄλλα τε ὅμοια καὶ τάδε «διαμηρίζειν κτλ.» ὡς ἀνωτέρω.

254 Epiphanius, Adversus haeres. 3, Π. πίστεως 9 (Dindorf 3 p. 566):
Ζήνων ὁ Στωικὸς ἔφη…, καὶ τοῖς παιδικοῖς χρῆσθαι ἀκωλύτως.

255 Plutarchus, Moralia 653E (Συμποσ. 3.6, 1):
«ὡς ἔγωγε, νὴ τὸν κύνα, καὶ τοὺς Ζήνωνος ἂν ἐβουλόμην», ἔφη [ὁ Ζώπυρος], «διαμηρισμοὺς ἐν συμποσίῳ τινὶ καὶ παιδιᾷ μᾶλλον ἢ σπουδῆς τοσαύτης ἐχομένῳ συγγράμματι τῇ Πολιτείᾳ, κατατετάχθαι.»

2. διαμηρισμούς: Salmasius. διαμερισμούς: cod.

256 Diogenes Laertius 7.4:
Ἕως μὲν οὖν τινος ἤκουσε τοῦ Κράτητος· ὅτε καὶ τὴν Πολιτείαν αὐτοῦ γράψαντος, τινὲς ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ κυνὸς οὐρᾶς αὐτὴν γεγραφέναι.

257 Philodemus, De Stoicis, Pap. Herc. 339 καὶ 155:
(α) col. 15.1-4 Τὴν Ζήνωνος Πολιτείαν· ἔχειν δέ τινας ἁμαρτάδας ὑπὸ νέου καὶ ἄφρονος ὄντος ἔτι γεγραμμένην. (β) col. 17.9-13 Ἐγὼ δὲ φήσω παρὰ μὲν τοῖς ἀρχαίοις μηδὲν αἰσχρὸν εὑρίσκεσθαι μηδ' ἀσεβές, ἀνάμεστον δὲ τούτων εἶναι ταύτην. (γ) col. 18.1-11. Παρορῶντες, ὅτι κατ' ἀρχὰς τοῦ γράμματος ἐμφαίνει τὸ πρόσφορον αὐτὴν ἐκτιθέναι καὶ τοῖς τόποις, ἐν οἷς ὑπῆρχε, καὶ τοῖς χρόνοις, καθ' οὓς ἔζη·… καὶ καθ' ὅσον ἀδυνάτους πάλιν ὑποθέσεις τοῖς οὐκ οὖσιν ἐνομοθέτει, τοὺς ὄντας παρείς.

258 Sextus Empiricus, Pyrrhoniae hypotyposes 3.205-206:
Ἀλλὰ καὶ ὁ Κιτιεὺς Ζήνων φησὶ μὴ ἄτοπον εἶναι τὸ μόριον τῆς μητρὸς τῷ ἑαυτοῦ μορίῳ τρῖψαι, καθάπερ οὐδὲ ἄλλο τι μέρος τοῦ σώματος αὐτῆς τῇ χειρὶ τρῖψαι φαῦλον ἂν εἴποι τις εἶναι… (206) τό τε αἰσχρουργεῖν ἐπάρατον ὂν παρ' ἡμῖν ὁ Ζήνων οὐκ ἀποδοκιμάζει.

259 Sextus Empiricus, Adversus mathematicos 11.191 (Πρὸς ἠθικ. 191):
Περὶ δὲ τῆς εἰς τοὺς γονεῖς τιμῆς παράθοιτο ἄν τις τὰ τῆς μητρομιξίας ὑπ' αὐτῶν θρυλούμενα καί γε ὁ μὲν Ζήνων τὰ περὶ τῆς Ἰοκάστης καὶ Οἰδί-

253 Σέξτος Ἐμπειρικός, Πυρρώνειοι ὑποτυπώσεις 3.245:
Ὅπως λοιπὸν ὁ σχολάρχης των Ζήνων στὶς Διατριβές του λέει γιὰ τὴν ἀγωγὴ τῶν παιδιῶν κι᾽ ἄλλα παρόμοια καὶ τέτοια: «νὰ σμίγεις κτλ.», ὅπως ἀκριβῶς πιὸ πάνω.

254 Ἐπιφάνιος, Κατὰ αἱρέσεων 3 Π. πίστεως 9 (Dindorf 3, p. 566):
Ὁ Ζήνων ὁ Στωικὸς εἶπε…, νὰ ἔχουμε ἀνεμπόδιστα ἐρωτικὲς σχέσεις μὲ παιδιά.

255 Πλούταρχος, Ἠθικὰ 653E (Συμπόσ. 3.6, 1):
«Ἐγὼ βέβαια, μὰ τὸν κύνα», εἶπε ὁ Ζώπυρος, «καὶ τὰ θέματα τῶν συνουσιῶν τοῦ Ζήνωνος θὰ ἤθελα νὰ τὰ κατατάξω σὲ κάποιο συμπόσιο καὶ μᾶλλον σὰν παιγνίδι παρὰ σὲ ἕνα τόσο σοβαρὸ σύγγραμμα, τὴν Πολιτεία.»

256 Διογένης Λαέρτιος 7.4:
Μέχρι τινὸς διετέλεσε λοιπὸν μαθητὴς τοῦ Κράτητος· ὅταν ἔγραψε καὶ τὴν Πολιτεία του, μερικοὶ δὲ ἔλεγαν ἀστειευόμενοι ὅτι τὴν εἶχε γράψει πάνω στὴν οὐρὰ τοῦ κυνός.

257 Φιλόδημος, Περὶ Στωικῶν, Pap. Herc. 339 καὶ 155:
(α) Τὴν Πολιτεία τοῦ Ζήνωνος· ποὺ περιέχει καὶ κάποια σφάλματα, γιατὶ γράφτηκε ὅταν ἀκόμα ἦταν νέος καὶ ἀνόητος.
(β) Ἐγὼ δὲ θὰ πῶ, ὅτι στοὺς ἀρχαίους τίποτε αἰσχρὸ δὲν βρίσκουμε, οὔτε ἀσεβές, αὐτὴ ὅμως εἶναι γεμάτη.
(γ) Παραβλέποντας ὅτι στὴν ἀρχὴ τοῦ συγγράμματος δείχνει, ὅτι ἐκθέτει αὐτὴ (τὴν πολιτεία) ὡς πρόσφορη καὶ στοὺς τόπους, μέσα στοὺς ὁποίους ὑπῆρχε καὶ στὰ χρόνια στὰ ὁποῖα ἐζοῦσε·… καὶ πάλι ἔθετε ὅρους ἀδύνατους νομοθετώντας γιὰ μὴ ὑπάρχοντες, παραλείποντας τοὺς παρόντες.

258 Σέξτος Ἐμπειρικός, Πυρρώνειοι ὑποτυπώσεις 3.205-206:
Ἀλλὰ καὶ ὁ Ζήνων ὁ Κιτιεὺς λέει ὅτι δὲν εἶναι ἀνάρμοστο νὰ τρίψει κανεὶς τὸ μόριο τῆς μητέρας του στὸ δικό του μόριο, ὅπως ἀκριβῶς δὲν θὰ ἔλεγε κανείς, ὅτι εἶναι κακὸ νὰ τρίψει μὲ τὸ χέρι του ὁποιοδήποτε ἄλλο μέρος τοῦ σώματός της… (206) καὶ τὸ νὰ ἐνεργεῖ κανεὶς αἰσχρά, πράγμα ποὺ ἐμεῖς καταριόμαστε, ὁ Ζήνων δὲν τὸ ἀποδοκιμάζει.

259 Σέξτος Ἐμπειρικός, Πρὸς μαθηματικοὺς 11.191:
Γιὰ δὲ τὴν τιμὴ πρὸς τοὺς γονεῖς θὰ μποροῦσε κανεὶς νὰ παραθέσει ὅσα αὐτοὶ ἐπαναλαμβάνουν γιὰ τὴ μητρομιξία. Καὶ ὁ Ζήνων γράφοντας γιὰ

ποδος θεὶς ἱστορούμενά φησιν ὅτι οὐκ ἦν δεινὸν τρῖψαι τὴν μητέρα. «καὶ εἰ μὲν ἀσθενοῦσαν τὸ σῶμα ταῖς χερσὶν τρίψας ὠφέλει, οὐδὲν αἰσχρόν· εἰ δ' ἑτέρῳ μέρει τρίψας, εὔφραινεν, ὀδυνωμένην παύσας, καὶ παῖδας ἐκ τῆς μητρὸς γενναίους ποιήσας, τί ἦν αἰσχρόν;»

260 Sextus Empiricus, Pyrrhoniae hypotyposes 3.246:
Περὶ δὲ τῆς εἰς τοὺς γονεῖς ὁσιότητος ὁ αὐτὸς ἀνὴρ φησιν εἰς τὰ περὶ τὴν Ἰοκάστην καὶ τὸν Οἰδίποδα ὅτι οὐκ ἦν δεινὸν τρίβειν τὴν μητέρα. «καὶ εἰ μὲν ἀσθενοῦσαν ἕτερόν τι μέρος τοῦ σώματος τρίψας ταῖς χερσὶν ὠφέλει, οὐδὲν αἰσχρόν· εἰ δὲ ἕτερα μέρη τρίψας εὔφραινεν, ὀδυνωμένην παύσας καὶ παῖδας ἐκ τῆς μητρὸς γενναίους ἐποίησεν, αἰσχρόν;»

261 Diogenes Laertius 7.21:
Ὡς ὁ Ζήνων φησὶν ἐν Πολιτείᾳ… γεύεσθαί τε [τὸν σοφὸν] καὶ ἀνθρωπίνων σαρκῶν κατὰ περίστασιν.

262 Θεόφιλος, Πρὸς Αὐτόλυκον 3.5:
Ἐπειδὴ οὖν πολλὰ ἀνέγνως, τί σοι ἔδοξεν τὰ Ζήνωνος ἢ τὰ Διογένους καὶ Κλεάνθους, ὁπόσα περιέχουσιν αἱ βίβλοι αὐτῶν, διδάσκουσαι ἀνθρωποβορίας, πατέρας μὲν ὑπὸ ἰδίων τέκνων ἕψεσθαι καὶ βιβρώσκεσθαι, καὶ εἴ τις οὐ βούλοιτο ἢ μέλος τι τῆς μυσερᾶς τροφῆς ἀπορρίψειεν, αὐτὸν κατεσθίεσθαι τὸν μὴ φαγόντα;

τὶς ἱστορίες, ποὺ διηγοῦνται γιὰ τὴν Ἰοκάστη καὶ τὸν Οἰδίποδα λέει, ὅτι δὲν ἦταν φοβερὸ νὰ τρίψει τὴ μητέρα του. «Κι' ἂν σὲ περίπτωση ποὺ θὰ ἦταν ἄρρωστη τρίβοντάς τη μὲ τὰ χέρια του τὴν ὠφελοῦσε, δὲν θὰ ἦταν καθόλου αἰσχρό· ἂν ὅμως τὴν ἔτριβε σὲ ἄλλο μέρος, εὐχαριστώντας την καὶ παύοντας τὸν πόνο της καὶ γεννώντας ἀπὸ τὴ μητέρα του εὐγενὴ παιδιά, σὲ τί θὰ ἦταν αἰσχρό;»

260 Σέξτος Ἐμπειρικός, Πυρρώνειοι ὑποτυπώσεις 3.246:
Σχετικὰ μὲ τὴν εὐσέβεια πρὸς τοὺς γονεῖς ὁ ἴδιος (ὁ Ζήνων) λέει γιὰ τὴν Ἰοκάστη καὶ τὸν Οἰδίποδα, ὅτι δὲν ἦταν φοβερὸ νὰ τρίβει τὴ μητέρα του. «Κι' ἂν σὲ περίπτωση ποὺ θὰ ἦταν ἄρρωστη τρίβοντάς τη μὲ τὰ χέρια του τὴν ὠφελοῦσε, δὲν θὰ ἦταν καθόλου αἰσχρό· ἂν ὅμως τὴν ἔτριβε σὲ ἄλλο μέρος, εὐχαριστώντας την καὶ παύοντας τὸν πόνο της καὶ γεννώντας ἀπὸ τὴ μητέρα του εὐγενὴ παιδιά, θὰ ἦταν αἰσχρό;»

261 Διογένης Λαέρτιος 7.121:
Ὅπως λέει ὁ Ζήνων στὴν Πολιτεία… ὁ σοφὸς κατὰ περίσταση θὰ γευθεῖ καὶ ἀνθρώπινες σάρκες.

262 Θεόφιλος, Πρὸς Αὐτόλυκον 3.5:
Ἐπειδὴ λοιπὸν πολλὰ διάβασες, ποιὰ γνώμη σχημάτισες γι' αὐτὰ ποὺ περιέχουν τὰ βιβλία τοῦ Ζήνωνος ἢ τοῦ Διογένη ἢ τοῦ Κλεάνθη, ποὺ διδάσκουν ἀνθρωποφαγίες, οἱ πατέρες νὰ ψήνονται καὶ νὰ τρώγονται ἀπὸ τὰ ἴδια τὰ παιδιά τους κι' ἂν κανεὶς θὰ ἤθελε νὰ πετάξει κάποιο κομμάτι ἀπὸ τὴ σιχαμερὴ τροφή, νὰ τρῶν ἐκεῖνον ποὺ δὲν τὸ ἔφαγε;

Ε. ΖΗΝΩΝΟΣ ΑΠΟΦΘΕΓΜΑΤΑ

263 Diogenes Laertius 7.20:
Εἰπόντος δέ τινος ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, «λέγεις», εἶπε, «ταληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν βραχείας εἶναι, εἰ δυνατόν.»

264 Diogenes Laertius 7.21:
Πρὸς τὸν καλὸν εἰπόντα ὅτι οὐ δοκεῖ αὐτῷ ἐρασθήσεσθαι ὁ σοφός, «οὐδέν», ἔφη, «ὑμῶν ἀθλιώτερον ἔσεσθαι τῶν καλῶν.»

265 Diogenes Laertius 7.23:
Δοῦλον ἐπὶ κλοπῇ, φασίν, ἐμαστίγου· τοῦ δ' εἰπόντος, «εἵμαρτό μοι κλέψαι», ἔφη, «καὶ δαρῆναι.»

266 Plutarchus, Moralia 443A (De virtute morali 4):
Καίτοι καὶ Ζήνωνά φασιν εἰς θέατρον ἀνιόντα κιθαρῳδοῦντος Ἀμοιβέως πρὸς τοὺς μαθητάς, «ἴωμεν», εἰπεῖν, «ὅπως καταμάθωμεν οἵαν ἔντερα καὶ νεῦρα καὶ ξύλα καὶ ὀστᾶ λόγου καὶ ῥυθμοῦ μετασχόντα καὶ τάξεως ἐμμέλειαν καὶ φωνὴν ἀφίησιν.»

267 Stobaeus, Eclogae 4.15, 31:
Ζήνων ὁ Στωικὸς φιλόσοφος ὀρῶν τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον εἶπεν, «ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, αὐτὸς σὲ ἀπολέσει.»

268 Diogenes Laertius 7.22:
Ῥοδίου δέ τινος καλοῦ καὶ πλουσίου, ἄλλως δὲ μηδέν, προσκειμένου αὐτῷ, μὴ βουλόμενος ἀνέχεσθαι,πρῶτον μὲν ἐπὶ τὰ κεκονισμένα τῶν βάθρων ἐκάθιζεν αὐτόν, ἵνα μολύνῃ τὴν χλανίδα· ἔπειτα εἰς τὸν τῶν πτωχῶν τόπον, ὥστε συνανατρίβεσθαι τοῖς ῥάκεσιν αὐτῶν· καὶ τέλος ἀπῆλθεν ὁ νεανίσκος. Πάντων ἔλεγεν ἀπρεπέστερον εἶναι τὸν τῦφον, καὶ μάλιστα ἐπὶ τῶν νέων.

269 Plutarchus, Moralia 504A (De garrulitate 4):
Ἀθήνησι δέ τις ἑστιῶν πρέσβεις βασιλικοὺς ἐφιλοτιμήθη σπουδάζουσιν αὐτοῖς συναγαγεῖν εἰς ταὐτὸ τοὺς φιλοσόφους· χρωμένων δὲ τῶν ἄλλων κοινολογίᾳ καὶ τὰς συμβολὰς ἀποδιδόντων, τοῦ δὲ Ζήνωνος ἡσυχίαν ἄγοντος, φιλοφρονησάμενοι καὶ προπιόντες οἱ ξένοι, «περὶ σοῦ δὲ τί χρὴ

Ε. ΖΗΝΩΝΟΣ ΑΠΟΦΘΕΓΜΑΤΑ

263 Διογένης Λαέρτιος 7.20:
Ὅταν κάποιος τοῦ εἶπε, ὅτι τὰ λογάκια τῶν φιλοσόφων τοῦ φαίνονται μικρά, λές», εἶπε, «τὴν ἀλήθεια· πρέπει ὅμως καὶ οἱ συλλαβές των νὰ εἶναι βραχεῖες, ἂν εἶναι δυνατόν.»

264 Διογένης Λαέρτιος 7.21:
Σ' ἕνα ὡραῖο νέο, ποὺ τοῦ εἶπε ὅτι δὲν νομίζει ὅτι θὰ τὸν ἐρωτευθεῖ ὁ σοφός, «κανένα πλάσμα δὲν θὰ εἶναι», τοῦ εἶπε, «πιὸ ἄθλιο ἀπὸ σᾶς τοὺς ὡραίους».

265 Διογένης Λαέρτιος 7.23:
Λένε, ὅτι ἐμαστίγωνε ἕνα δοῦλο του γιὰ κλοπή· κι' ὅταν αὐτὸς εἶπε «ἦταν πεπρωμένο μου νὰ κλέψω», (κι' αὐτὸς) «καὶ νὰ δαρεῖς.»

266 Πλούταρχος, Ἠθικὰ 443Α (Περὶ τῆς ἠθικῆς ἀρετῆς 4):
Κι' ἀκόμα λένε ὅτι κι' ὁ Ζήνων ἀνεβαίνοντας σὲ θέατρο, ὅπου ἔπαιζε κιθάρα ὁ Ἀμοιβέας, «πᾶμε», εἶπε πρὸς τοὺς μαθητές του, «γιὰ νὰ μάθουμε τί ἁρμονία καὶ φωνὴ βγάζουν τὰ ἔντερα καὶ τὰ νεῦρα καὶ τὰ ξύλα καὶ τὰ ὀστά, ὅταν μετάσχουν σὲ λόγο καὶ ρυθμὸ καὶ τάξη.»

267 Στοβαῖος, Ἐκλογαὶ 4.15, 31:
Ὁ Ζήνων ὁ Στωικὸς φιλόσοφος βλέποντας κάποιον ἀπὸ τοὺς γνωστούς του νὰ καταπονεῖται ἀπὸ τὶς δουλειὲς τοῦ χωραφιοῦ του, εἶπε, «ἂν δὲν χάσεις ἐσὺ αὐτὸ τὸ χωράφι, αὐτὸ θὰ χάσει ἐσένα».

268 Διογένης Λαέρτιος 7.22:
Κάποιον Ρόδιο ὡραῖο καὶ πλούσιο, κατὰ τὰ ἄλλα ἕνα μηδενικό, ποὺ τὸν πλησίαζε παρακαλώντας νὰ γίνει μαθητής του, μὴ θέλοντας νὰ τοῦ ἀρνηθεῖ, πρῶτα τὸν κάθιζε στὰ σκονισμένα θρανία, γιὰ νὰ λερώσει τὸ πολυτελές του πανωφόρι· ἔπειτα στὴ θέση τῶν φτωχῶν, ὥστε νὰ τρίβεται πάνω στὰ ράκη τους· στὸ τέλος ἔφυγε ὁ νεαρός. Ἀπ' ὅλα, ἔλεγε, τὸ πιὸ ἀπρεπὲς εἶναι ἡ ἀλαζονεία καὶ μάλιστα στοὺς νέους.

269 Πλούταρχος, Ἠθικὰ 504Α (Περὶ ἀδολεσχίας 4):
Στὴν Ἀθήνα κάποιος, ποὺ ἔκανε τραπέζι σὲ πρέσβεις βασιλικούς, εἶχε τὴ φιλοτιμία μαζὶ μὲ τόσους περισπούδαστους νὰ καλέσει στὸ ἴδιο τραπέζι τοὺς φιλοσόφους· καὶ καθὼς οἱ ἄλλοι ἔπαιρναν μέρος στὴν κοινὴ συζήτηση καὶ ἀνταπέδιδαν τὰ λόγια, ἐνῶ ὁ Ζήνων σιωποῦσε, ἀφοῦ

λέγειν», ἔφασαν, «ὦ Ζήνων, τῷ βασιλεῖ» κἀκεῖνος «ἄλλο μηδὲν» εἶπεν «ἢ ὅτι πρεσβύτης ἐστὶν ἐν Ἀθήναις παρὰ πότον σιωπᾶν δυνάμενος.»

270 Stobaeus, Eclogae 4. 34. 68 (H. 3.845-46):
Ζήνων ἔλεγεν οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι ὡς χρόνου. βραχὺς γὰρ ὄντως ὁ βίος, ἡ δὲ τέχνη μακρή, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη.

271 Plutarchus, Phocion 5.2:
Ὡς γὰρ Ζήνων ἔλεγεν ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν.

272 Stobaeus, Eclogae 3. 14. 4 (H. 1.469):
Ζήνωνος. Ἔλεγχε σαυτὸν ὅστις εἶ, [[καὶ]] μὴ πρὸς χάριν ἄκου', ἀφαιροῦ δὲ κολάκων παρρησίαν.

273 Theodoros Metochitis, Ὑπομνηματισμοὶ καὶ σημειώσεις γνωμικαὶ p. 812 (Kiessling):
Καὶ ὁ μὲν Ζήνων ἔλεγεν, ἦλθε, παρῆλθεν, οὐδὲν πρὸς ἐμὲ καθόλου, περὶ τῶν ἐνταῦθα πραγμάτων καὶ τοῦ βίου φιλοσοφῶν.

274 Stobaeus, Eclogae 2.31, 81 (W. 2.215):
Ζήνων ἐρωτηθείς, πῶς ἄν τις νέος ἐλάχιστα ἁμαρτάνοι, «εἰ πρὸ ὀφθαλμῶν ἔχει», ἔφη, «οὓς μάλιστα τιμᾷ καὶ αἰσχύνεται.»

275 Stobaeus, Eclogae 3. 36. 26 (H. 1.696-7):
Ζήνων τῶν μαθητῶν ἔφασκεν τοὺς μὲν φιλολόγους εἶναι, τοὺς δὲ λογοφίλους.

